Δεῖξε ἀγάπη, τέκνο μου, καὶ βιάσου νὰ φέρεις χαρτὶ καὶ μελάνη· ἄφησε τὴν ἀπάντηση γιὰ τὴν ὁποία ἦλθες, καὶ γράψε στὸν ἀδελφὸ Ἰωάννη, πρῶτον ἀσπασμὸ ἀπὸ ἐμένα· διότι ἐνεργεῖται στὸ νὰ ταράσσει ἄλλους καὶ νὰ ταράσσεται ἀπὸ ἄλλους, καὶ πές του, χαῖρε, ἀδελφέ μου, ἐν Κυρίῳ. Ἐὰν εἶναι πολλὰ τὰ κύματα τῆς θάλασσας, δὲν ὑπάρχει ἐκεῖνος ποὺ ξυπνᾶ τὸν Ἰησοῦ, γιὰ νὰ ἐπιτιμήσει τοὺς ἀνέμους καὶ τὴ θάλασσα καὶ νὰ γίνει γαλήνη[48] γιὰ νὰ προσέλθει κανεὶς καὶ νὰ προσκυνήσει τὸν Ἰησοῦ; Ἐὰν ὅλα εἶναι μάταια καὶ πρόσκαιρα, γιατί ἡ καρδιά μας δέχεται ἐνέργειες ἀπὸ αὐτά, ὥστε νὰ λησμονήσει τὸν εὐαγγελικὸ λόγο, «τί θὰ ὠφεληθεῖ ὁ ἄνθρωπος ἐὰν κερδίσει ὅλο τὸν κόσμο, βλάψει ὅμως τὴν ψυχή του;»[49].

Μάθε, ἀδελφέ μου, ὅτι, ἐὰν κανεὶς θλίβει κάποιον, εἴτε μὲ ἔργα εἴτε μὲ λόγια, ὕστερα καὶ ὁ ἴδιος θὰ θλιβεῖ ἑκατονταπλάσια. Καὶ πολλὲς φορὲς ἐγὼ ἔγραψα τὰ τῆς Γραφῆς λόγια τοῦ Κυρίου, τὸ νὰ δείχνεις μακροθυμία σὲ ὅλα καὶ νὰ προσέχεις νὰ μὴ εἶναι ἡ θέλησή σου ἀναμιγμένη μὲ κάτι. Ἀλλά, ἐὰν μοῦ στείλεις τὴν ἐρώτηση μὲ τὸν ἀγαπητό μου υἱὸ Σέριδο, αὐτὸν ποὺ πάντοτε στενοχωριέται ποὺ σὲ βλέπει θλιμμένο, φρόντισε νὰ ἐξετάσεις μὲ ἀκρίβεια τοὺς λογισμούς σου, μήπως κάποτε σοῦ βάλουν στὴν καρδιά σου θανάσιμο δηλητήριο γιὰ νὰ σὲ πλανήσουν, ὥστε νὰ θεωρεῖς τὸ κουνούπι[50] καμήλα καὶ τὸ λιθαράκι πέτρα. Καὶ ὑπάρχει ἄνθρωπος ποὺ ἔχει τὸ δοκάρι καὶ προσέχει τὸ καρφί, ὅπως σοῦ ἔγραψα, σὰν νὰ ἔγραψα στὴν ψυχή μου· διότι γνωρίζω ὅτι ἡ καρδιά σου εἶναι δυνατὸ νὰ χαρεῖ μ' αὐτά· διότι λέγει, «νὰ ἐλέγχεις τὸν σοφό»[51], καὶ τὰ ὑπόλοιπα· Καὶ γνωρίζεις πῶς σὲ ἔχω στὴν ἀγάπη τοῦ Χριστοῦ, ἀδελφέ.

---

50. Ματθ. 23,24.
51. Παρμ. 9,8.

Ἐλπίζω ὅτι ἐγγὺς εἶ τοῦ ἀμεριμνῆσαι λοιπὸν ἀπὸ τῶν γηΐνων πραγμάτων καὶ εὑρεθῆναι εἰς τὴν τῶν Πατέρων πνευματικὴν ἐργασίαν· οὐ μὴ γὰρ καταισχύνῃ με ὁ Κύριός μου Χριστός, δεόμενον αὐτοῦ ἡμέρας καὶ νυκτὸς περὶ σοῦ.

ΙΖ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Οἶδα, πάτερ, ὅτι ταῦτα γίνεταί μοι διὰ τὰς ἁμαρτίας μου· ὅτι ἄφρων εἰμὶ καὶ αἴτιος κακῶν· ὁ δὲ φέρων με εἰς ταύτην τὴν θλῖψιν, ὁ ἀββᾶς ἐστιν, ὅτι ἀμελεῖ καὶ παραβλέπει τὰ πράγματα, καὶ ἀφανίζονται ἐκ τῆς αἰτίας αὐτοῦ, καὶ οὐ βαστάζω. Τί δὲ ποιήσω ὅτι ἀποκρίνομαι πρὸς τοὺς λογισμοὺς καὶ οὐ λαμβάνω δύναμιν; καὶ συγχώρησόν μοι, ὅτι ἅπαξ ἐλάλησα. Ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω· θαυμάζω δὲ πῶς ἐψύγη ἐκείνη ἡ θερμότης τῆς ἀγάπης, ἧς εἶχον πρὸς τοὺς ἀδελφούς, καὶ εὔχου ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον.

Ἀπόκρισις

Ἀδελφέ, μιμνήσκων ὅτι εἶπε τοῖς μαθηταῖς αὐτοῦ ὁ Κύριος, ὅτι «καὶ ὑμεῖς ἀνόητοι ἐστέ»; ἔγραψά σοι λέγων ἀκριβεῦσαι μετὰ τῶν λογισμῶν σου· εἰ ἐπόνησας τοῦ ἀκριβεύσασθαι, μαθεῖν εἶχες, ὅτι τὴν δύναμιν ὧν ἀρτίως μοι ἔγραψας, προέγραψά σοι ἐγὼ καὶ οὐκ ἦν μοι χρεία τοῦ γράψαι, ἀλλ' ὅμως προσθήσω σοι πρὸς τὰς ἐπερωτήσεις. Πρῶτον δὲ ἐλέγχω σε· εἶπας γὰρ σεαυτὸν ἁμαρτωλόν, καὶ ἐν τοῖς ἔργοις οὐκ ἔχεις σεαυτὸν οὕτως· ὁ γὰρ ἔχων ὅτι ἁμαρτωλός ἐστι καὶ αἴτιος κακῶν, οὐκ ἀντιλέγει τινί, οὐ μάχεται, οὐκ ὀργίζεται κατά

Ἐλπίζω ὅτι βρίσκεσαι κοντὰ στὸ νὰ ἀμεριμνήσεις στὸ ἑξῆς γιὰ τὰ γήϊνα πράγματα καὶ νὰ βρεθεῖς στὴν πνευματικὴ ἐργασία τῶν Πατέρων· διότι δὲν θὰ μὲ καταντροπιάσει ὁ Κύριός μου ὁ Χριστός, ποὺ τὸν παρακαλῶ γιὰ σένα μέρα καὶ νύχτα.

17

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Γνωρίζω, πάτερ, ὅτι αὐτὰ μοῦ συμβαίνουν γιὰ τὶς ἁμαρτίες μου, ὅτι εἶμαι ἄφρονας καὶ αἴτιος κακῶν, καὶ αὐτὸς ποὺ μὲ ὁδηγεῖ σ' αὐτὴ τὴ θλίψη εἶναι ὁ Ἀββᾶς, ἐπειδὴ ἀμελεῖ καὶ παραβλέπει τὰ πράγματα καὶ καταστρέφονται ἐξαιτίας του καὶ δὲν τὸ ἀνέχομαι. Τί νὰ κάνω ὅμως, ποὺ ἀπευθύνομαι στοὺς λογισμοὺς καὶ δὲν παίρνω δύναμη; Καὶ συγχώρεσέ με, ποὺ μία φορὰ μίλησα. Δὲ θὰ προσθέσω δεύτερη φορά. Ἀπορῶ πῶς πάγωσε ἐκείνη ἡ θέρμη τῆς ἀγάπης ποὺ εἶχα πρὸς τοὺς ἀδελφούς, καὶ προσευχήσου γιὰ μένα στὸ ὄνομα τοῦ Κυρίου.

Ἀπόκριση

Αδελφέ, ἐνθυμούμενος ὅτι ὁ Κύριος εἶπε στοὺς μαθητές του, «καὶ ἐσεῖς εἶσθε ἀνόητοι;»[52], σοῦ ἔγραψα, λέγοντάς σου νὰ ἐξετάσεις μὲ ἀκρίβεια τοὺς λογισμούς σου· ἐὰν κατέβαλλες ἐπίπονη προσπάθεια στὴν ἀκριβῆ αὐτὴ ἐξέταση, θὰ μποροῦσες νὰ μάθεις, ὅτι τὴ δύναμη αὐτῶν γιὰ τοὺς ὁποίους τώρα μοῦ ἔγραψες, σοῦ τὴν ἔγραψα ἐγὼ ἀπὸ πρὶν καὶ δὲν ἦταν ἀνάγκη νὰ σοῦ ξαναγράψω· ἀλλ' ὅμως θὰ προσθέσω κάτι στὶς ἐρωτήσεις σου. Καὶ πρῶτα σὲ ἐλέγχω· διότι ἀποκάλεσες τὸν ἑαυτό σου ἁμαρτωλό, ἐνῶ στὰ ἔργα σου δὲν εἶσαι τέτοιος· διότι αὐτὸς ποὺ εἶναι ἁμαρτωλὸς καὶ αἴτιος κακῶν δὲν φέρει ἀντίρρηση σὲ κανέναν, οὔτε μάχεται οὔτε ὀργίζεται ἐνα-

52. Γαλ. 3,3.

τινος, ἀλλ' ἔχει ὅλους βελτίους· καὶ εἰ χλευάζουσί σε οἱ λογισμοὶ οὕτως ἔχειν, πῶς κινοῦσί σου τὴν καρδίαν κατὰ τῶν βελτιόνων σου;

Πρόσχες, ἀδελφέ· οὐκ ἔστιν ἀλήθεια, ἀκμὴν γὰρ οὐκ ἐφθάσαμεν ἔχειν ἑαυτοὺς ἁμαρτωλούς. Εἴ τις ἀγαπᾷ τὸν ἐλέγχοντα αὐτόν, σοφός ἐστι· εἴ τις δὲ ἀγαπᾷ καὶ οὐ ποιεῖ ἃ ἀκούει παρ' αὐτοῦ, μᾶλλον τοῦτο μῖσός ἐστιν. Εἰ ἁμαρτωλὸς εἶ, τί μέμφῃ τὸν πλησίον καὶ αἰτιᾶσαι αὐτόν, ὅτι δι' αὐτοῦ γίνεταί σοι ἡ θλῖψις; Οὐκ οἶδας ὅτι ἕκαστος πειράζεται ὑπὸ τῆς ἰδίας συνειδήσεως, καὶ τοῦτο τίκτει αὐτῷ τὴν θλῖψιν; Καὶ τοῦτό ἐστιν ὃ ἔγραψά σοι περὶ τῶν ἀδελφῶν, ὅτι 'μὴ δείξωσί σοι κάμηλον τὸν κώνωπα' καὶ τὰ λοιπά, εὖξαι δὲ μᾶλλον ἵνα συμμέτοχος ᾖ ἀεὶ εἰς τὸ φόβον τοῦ Θεοῦ.

Ὅτι δὲ εἶπας σεαυτὸν ἄφρονα, μὴ χλαυασθῇς, ἀλλ' ἐρεύνησον καὶ εὑρήσεις ὅτι οὐκ ἔχεις οὕτως· εἰ γὰρ κατέχεις οὕτως, οὐδὲ ὀργισθῆναι ὀφείλεις, μὴ δυνάμενος διακρῖναι, ἢ καλῶς ἢ κακῶς ἐγένετο τὸ πρᾶγμα· ὁ γὰρ ἄφρων μωρὸς ἀκούει· καὶ ὁ ἄφρων καὶ μωρὸς ἑρμηνεύεται ἄναλος· καὶ ὁ ἄναλος, πῶς ἄλλους ἀρτύει καὶ ἁλίζει; Βλέπε, ἀδελφέ, ὅτι χλευαζόμενοι λαλοῦμεν στόματι μόνον καὶ τὰ ἔργα δεικνύουσιν. Ὅτε ἀποκρινόμεθα πρὸς τοὺς λογισμούς, οὐ λαμβάνομεν δύναμιν, ἐπειδὴ πρῶτον δεχόμεθα τὸ κατακρῖναι τὸν πλησίον καὶ ἐκνευροῦται ἡμῶν ἡ δύναμις τοῦ πνεύματος καὶ αἰτιώμεθα τὸν ἀδελφὸν ἡμῶν, αὐτοὶ αἴτιοι ὄντες.

Ἐὰν ἔχῃς ὅτι τοῦ ἐλεοῦντος Θεοῦ ἐστι τὸ πᾶν, καὶ οὔτε τοῦ θέλοντος, οὔτε τοῦ τρέχοντος, τί οὐ κατανοεῖς καὶ ἀγαπᾷς τὸν ἀδελφόν σου ἐν τελείᾳ ἀγάπῃ; πόσοι γὰρ ἤθελον ἡμᾶς τοὺς γέροντας καὶ ἔτρεχον, καὶ οὐκ ἐδόθη αὐτοῖς; καὶ καθημένου αὐτοῦ

ντίον κάποιου, ἀλλὰ τοὺς θεωρεῖ ὅλους πολὺ καλούς. Καὶ ἂν οἱ λογισμοὶ σὲ χλευάζουν γιὰ τὸ ὅτι εἶσαι τέτοιος, πῶς κινοῦν τὴν καρδιά σου ἐναντίον τῶν καλυτέρων σου;

Πρόσεχε, ἀδελφέ· δὲν εἶναι ἀλήθεια, διότι δὲν φθάσαμε ἀκόμα στὸν καιρὸ νὰ θεωροῦμε τοὺς ἑαυτούς μας ἁμαρτωλούς. Ἐὰν κάποιος ἀγαπᾶ ἐκεῖνον ποὺ τὸν ἐλέγχει εἶναι σοφός· ἐὰν κάποιος ἀγαπᾶ καὶ δὲν κάνει αὐτὰ ποὺ ἀκούει ἀπὸ ἐκεῖνον, αὐτὸ μᾶλλον εἶναι μίσος. Ἐὰν εἶσαι ἁμαρτωλός, γιατί κατηγορεῖς τὸν πλησίον καὶ τὸν ἐνοχοποιεῖς, ἐπειδὴ αὐτὸς σοῦ προκαλεῖ τὴ θλίψη; Δὲν γνωρίζεις ὅτι ὁ καθένας πειράζεται ἀπὸ τὴ δική του συνείδηση καὶ αὐτὸ τοῦ γεννᾶ τὴ θλίψη; Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ σοῦ ἔγραψα γιὰ τοὺς ἀδελφούς, 'νὰ μὴ σοῦ παρουσιάσουν τὸ κουνούπι γιὰ καμήλα' καὶ τὰ λοιπά, καὶ νὰ εὔχεσαι μᾶλλον νὰ εἶσαι πάντα συμμέτοχος στὸ φόβο τοῦ Θεοῦ.

Γιὰ τὸ ὅτι ἀποκάλεσες τὸν ἑαυτό σου ἄφρονα, μὴ χλευασθεῖς, ἀλλὰ ἐρεύνησε καὶ θὰ βρεῖς ὅτι δὲν εἶσαι τέτοιος· διότι ἐὰν εἶσαι τέτοιος, ὀφείλεις οὔτε νὰ ὀργισθεῖς, ἀφοῦ δὲν μπορεῖς νὰ διακρίνεις ἂν ἔγινε καλὰ ἢ κακὰ τὸ πρᾶγμα· διότι ὁ ἄφρων ὀνομάζεται μωρός· καὶ ὁ ἄφρων καὶ ὁ μωρὸς ἑρμηνεύονται ἀνάλατος· καὶ ὁ ἀνάλατος πῶς μπορεῖ νὰ ἀρτύσει καὶ νὰ ἁλατίσει ἄλλους; Πρόσεχε, ἀδελφέ, ὅτι ὅταν χλευαζόμαστε μιλοῦμε μόνο μὲ τὸ στόμα καὶ τὰ ἔργα δείχνουν. Ὅταν ἀνταποκρινόμαστε στοὺς λογισμούς, δὲν παίρνουμε δύναμη, ἐπειδὴ πρῶτα δεχόμαστε τὴν κατάκριση τοῦ πλησίον καὶ ἀδυνατίζει ἡ δύναμη τοῦ πνεύματός μας καὶ κατηγοροῦμε τὸν ἀδελφό μας, ἐνῶ οἱ ἴδιοι εἴμαστε αἴτιοι.

Ἐὰν γνωρίζεις ὅτι τὸ πᾶν εἶναι τοῦ ἐλεήμονα Θεοῦ καὶ οὔτε ἐκείνου ποὺ θέλει, οὔτε αὐτοῦ ποὺ τρέχει[53], γιατί δὲν κατανοεῖς καὶ δὲν ἀγαπᾶς τὸν ἀδελφό σου μὲ τέλεια ἀγάπη; Διότι πόσοι ἤθελαν ἐμᾶς τοὺς γέροντες καὶ ἔτρεχαν καὶ δὲν τοὺς δόθηκε; καὶ ἐνῶ κάποιος καθόταν, ὁ Θεὸς μᾶς ἔστειλε σ' αὐτὸν

53. Ρωμ. 9,16.

ἔπεμψεν ἡμᾶς πρὸς αὐτὸν ὁ Θεός, καὶ τέκνον γνήσιον ἡμῶν αὐτὸν ἐποίησε· τὴν ἔσω γὰρ προαίρεσιν ἀγαπᾷ ὁ Θεός.

Τὸ δὲ εἰπεῖν, 'ἅπαξ ἐλάλησα', καὶ τὰ ἑξῆς, ἐὰν πικτεύῃς τοῦ κτήσασθαι, μακάριος εἶ· οὐ γὰρ πᾶσι δέδοται. Καὶ περὶ τῶν λοιπῶν λογισμῶν, ἀνάθου εἰς τὸν Θεὸν πάντα λογισμόν, λέγων· 'ὁ Θεὸς οἶδε τὸ συμφέρον καὶ ἀναπαύῃ'· καὶ κατὰ μικρὸν ἔρχεταί σοι δύναμις τοῦ ὑπενεγκεῖν, καὶ μὴ παντελῶς κόψῃς τὸ λαλῆσαι. Κἂν δὲ λαλήσῃς καὶ μὴ εἰσακουσθῇς μηδὲ εὕρῃς χάριν ἐν τῷ λόγῳ σου, μὴ λυπηθῇς, ὠφελῆσαι γὰρ μᾶλλον.

Περὶ δὲ ὧν θαυμάζεις, ἡ τελεία ἀγάπη ἄπτωτός ἐστι, καὶ ὁ κτώμενος αὐτὴν μένει ἐν τῇ θερμότητι, κατακλειόμενος τῇ ἀγάπῃ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον.

Περὶ δὲ ὧν ἐσχάτως ἔγραψας δεήσεων, ὀφείλεις ἀρκεσθῆναι ᾗ ἔγραψά σοι λέξει· ὅτι νύκτα καὶ ἡμέραν εὔχομαι περὶ σοῦ ἀδιαλείπτως πρὸς τὸν Θεόν. Ἐκ περισσοῦ οὖν καὶ τοῦτο ἔγραψας. Ἔχεις οὖν παρ' ἐμοῦ τροφὴν κατὰ Θεὸν ἐπὶ πολὺν χρόνον.

Καρτέρησον καὶ ὑπόμεινον τὸν Κύριον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΙΗ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν ἐρωτήσαντα πόθεν ἐστὶν ἡ θερμότης καὶ ἡ ψυχρότης, καὶ ἡ σκληροκαρδία, καὶ περὶ τοῦ σωματικοῦ πολέμου.*

Περὶ τῆς θέρμης καὶ τῆς ψυχρότητος, δῆλόν ἐστι, ὅτι ὁ Κύριος πῦρ ὠνομάσθη, θερμαῖνον καὶ ἐμπυρίζον καρδίαν καὶ νεφρούς· ἐὰν οὕτω, καὶ ὁ διάβολος ψυχρός

54. Α' Κορ. 13,8.
55. Ἑβρ. 12,29.

καὶ τὸν ἔκανε γνήσιο τέκνο μας· διότι ὁ Θεὸς ἀγαπᾶ τὴν ἐσωτερικὴ προαίρεση.

Τὸ νὰ πεῖς 'μιὰ φορὰ μίλησα' καὶ τὰ ἑπόμενα, ἐὰν ἀγωνίζεσαι νὰ τ' ἀποκτήσεις, εἶσαι μακάριος· διότι αὐτὸ δὲν δίνεται σ' ὅλους. Καὶ γιὰ τοὺς ὑπόλοιπους λογισμούς, κάθε λογισμὸ ἀνάθεσέ τον στὸ Θεό, λέγοντας· 'ὁ Θεὸς γνωρίζει τὸ συμφέρον καὶ ἀναπαύει'· καὶ σοῦ ἔρχεται σιγὰ σιγὰ ἡ δύναμη νὰ ὑποφέρεις καὶ νὰ μὴ σταματήσεις ἐντελῶς νὰ ὁμιλεῖς. Καὶ ἂν μιλήσεις καὶ δὲν εἰσακουσθεῖς, οὔτε βρεῖς χάρη στὸ λόγο σου, μὴ στενοχωρηθεῖς, διότι ὠφελεῖσαι περισσότερο.

Σχετικὰ μ' αὐτὰ ποὺ ἀπορεῖς, ἡ τέλεια ἀγάπη εἶναι ἄπτωτη[54] καὶ αὐτὸς ποὺ τὴν ἀποκτᾶ μένει στὴ θέρμη, περιτειχισμένος μὲ τὴν ἀγάπη πρὸς τὸ Θεὸ καὶ πρὸς τὸν πλησίον.

Γιὰ τὶς αἰτήσεις ποὺ μοῦ ἔγραψες τελευταῖα, ὀφείλεις νὰ ἀρκεσθεῖς στὰ λόγια ποὺ σοῦ ἔγραψα· ὅτι προσεύχομαι γιὰ σένα στὸ Θεὸ ἀδιάλειπτα νύχτα καὶ μέρα. Ἦταν περιττὸ λοιπὸν νὰ μοῦ γράψεις καὶ γι' αὐτό. Ἔχεις λοιπὸν ἀπὸ μένα τροφὴ κατὰ Θεὸν γιὰ πολὺν καιρό.

Δεῖξε καρτερία καὶ ὑπομονὴ πρὸς τὸν Κύριο, στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

18

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ τὸν ἐρώτησε ἀπὸ ποῦ προέρχεται ἡ θερμότητα καὶ ἡ ψυχρότητα καὶ ἡ σκληροκαρδία, καθὼς καὶ γιὰ τὸν σωματικὸ πόλεμο.

Γιὰ τὴ θερμότητα καὶ τὴν ψυχρότητα εἶναι φανερό, ὅτι ὁ Κύριος ὀνομάσθηκε φωτιά[55], διότι θερμαίνει καὶ φλογίζει τὴν καρδιὰ καὶ τὰ νεφρά[56]· ἐὰν μὲ τὸν ἴδιο

56. Ψαλμ. 25,2.

ἐστι, καὶ ἀπ' αὐτοῦ ἡ ψυχρότης ὅλη· εἰ μὴ γὰρ οὕτως εἶχε, πῶς λέγει, ὅτι «τότε ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν»; Τὸ δὲ «τότε» τί ἐστιν, εἰ μὴ ἐν τοῖς καιροῖς τοῦ ἀντιδίκου; Ἐὰν οὖν αἰσθανώμεθα ψυχρείας, ἐπικαλεσώμεθα τὸν Θεόν, καὶ ἐρχόμενος θερμαίνει ἡμῶν τὴν καρδίαν εἰς τὴν τελείαν αὐτοῦ ἀγάπην, οὐ μόνον πρὸς αὐτόν, ἀλλὰ καὶ πρὸς τὸν πλησίον· καὶ ἀπὸ προσώπου τῆς θέρμης αὐτοῦ ἐξορίζεται ἡ τοῦ μισοκάλου ψυχρεία. Εἰ γὰρ ἐξήρανε τὴν πηγὴν τῶν δακρύων τῆς καρδίας σου, ὕγρανέ σου τὴν ὑπὸ γαστέρα. Ἀλλ' ἑστίασον τὸν Κύριον ἐν τῷ σῷ οἴκῳ, καὶ ταύτην ξηρανεῖ, καὶ τὴν πηγὴν τῶν δακρύων καθαρίζει πρὸς τὴν ῥύσιν τοῦ ὕδατος τοῦ νοητοῦ.

Ὁ θέλων ἐλθεῖν εἰς τὸν φόβον τοῦ Θεοῦ, δι' ὑπομονῆς ἔρχεται· φησὶ γάρ, «ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου»· καὶ τί; «καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος». Ἀπὸ δὲ τοῦ τοιούτου λάκκου λογίζεται καὶ ἡ σκληροκαρδία. Ὅπερ οὖν ποθεῖς, κτῆσαι, καὶ σώζῃ ἐν Κυρίῳ.

ΙΘ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν ἐρωτήσαντα περὶ μακροθυμίας.*

Εἰπὲ τῷ ἀδελφῷ· ἔγραψά σοι περὶ τῆς μακροθυμίας. Καὶ νῦν λέγω σοι. Εἶπεν ὁ δεσπότης ἡμῶν Θεὸς τοῖς ἑαυτοῦ μαθηταῖς· «ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ». Γενοῦ οὖν ὡς ὁ

57. Ματθ. 24,12.
58. Ψαλμ. 39,1.

τρόπο καὶ ὁ διάβολος εἶναι ψυχρός, ἀπ' αὐτὸν προέρχεται καὶ ὅλη ἡ ψυχρότητα· ἐὰν τὸ πρᾶγμα δὲν εἶχε ἔτσι, πῶς λέγει ὅτι, «τότε ἡ ἀγάπη τῶν πολλῶν θὰ παγώσει»[57]; Τὸ «τότε» τί σημάνει, ἐὰν δὲν σημαίνει 'στὶς ἡμέρες τοῦ ἀντιχρίστου'; Ἐὰν λοιπὸν αἰσθανόμαστε ψυχρότητα, ἂς ἐπικαλεσθοῦμε τὸ Θεό, καὶ ἐρχόμενος ἐκεῖνος θὰ ζεστάνει τὴν καρδιά μας πρὸς τὴν τέλεια ἀγάπη του, ὄχι μόνο πρὸς Αὐτόν, ἀλλὰ καὶ πρὸς τὸν πλησίον, καὶ ἡ ψυχρότητα τοῦ μισόκαλου φεύγει ἀπὸ τὴν παρουσία τῆς θερμότητας αὐτοῦ. Διότι, ἂν ξήραινε τὴν πηγὴ τῶν δακρύων τῆς καρδιᾶς σου, τότε θὰ ὕγραινε τὴν πηγὴ τοῦ ὑπογαστρίου σου. Ἀλλὰ δέξου τὸν Κύριο στὸν οἶκο σου καὶ αὐτὸς καὶ αὐτὴν θὰ ξηράνει καὶ θὰ καθαρίσει τὴν πηγὴ τῶν δακρύων γιὰ τὴ ροὴ τοῦ νοητοῦ ὕδατος.

Ἐκεῖνος ποὺ θέλει νὰ φθάσει στὸ φόβο τοῦ Θεοῦ, φθάνει μὲ ὑπομονή· διότι λέγει, «μὲ ὑπομονὴ περίμενα τὸν Κύριο καὶ μὲ πρόσεξε καὶ εἰσάκουσε τὴ δέησή μου»[58]· καὶ τί ἄλλο; «καὶ μὲ ἀνέβασε ἀπὸ τὸν λάκκο τῆς ταλαιπωρίας καὶ τὴ λάσπη τοῦ βούρκου»[59]. Καὶ ἀπὸ ἕναν τέτοιο λάκκο προέρχεται ἡ σκληροκαρδία. Ἐκεῖνο λοιπὸν ποὺ ποθεῖς, ἀπόκτησέ το, καὶ μὲ τὴ βοήθεια τοῦ Θεοῦ θὰ σωθεῖς.

19

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ ἐρώτησε γιὰ μακροθυμία.

Πὲς στὸν ἀδελφό· Σοῦ ἔγραψα γιὰ τὴ μακροθυμία. Καὶ τώρα σοῦ λέγω· ὁ Δεσπότης μας Θεὸς εἶπε στοὺς μαθητές του· «νά, σᾶς ἔχω δώσει τὴν ἐξουσία νὰ πατᾶτε ἐπάνω σὲ φίδια καὶ σκορπιούς, καὶ σὲ ὅλη τὴ δύναμη τοῦ ἐχθροῦ καὶ τίποτε δὲν θὰ σᾶς ἀδικήσει»[60]. Γίνε λοιπὸν ὅπως ὁ

59. Ψαλμ. 39,2.
60. Λουκᾶ 10,19.

Ἰὼβ ἐκπίνων μυκτηρισμὸν ἴσα ποτῷ. Ταῦτα ποίησον καὶ εἰς ταῦτα μελέτησον διὰ παντός.

Κ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐρωτήσαντα, 'εἰ ἔδωκεν ὁ Θεὸς ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, πῶς κινοῦμαι;'*

Τίς λαβὼν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, ἀδικεῖται ἔτι ὑπ' αὐτῶν, ἢ κατακυριεύεται; Ἐρεύνησον οὖν τὴν καρδίαν σου ἀπὸ παντὸς πράγματος, καὶ εἰ δύναται κινῆσαι τὴν καρδίαν σου, κἂν ῥοπήν, μάθε ὅτι ἀκμὴν μακρὰν εἶ τοῦ λαβεῖν κατὰ τούτων ἐξουσίαν , καὶ μὴ ἀμελήσῃς εἰς ἑαυτόν, μήποτε προκαταλάβῃ σε ὁ καιρός. Ἀλλ' εἴ τι ἐὰν ἴδῃς πρᾶγμα γινόμενον (τί λέγω περὶ τῶν τοῦ κόσμου, ὅτι προερχόμενά εἰσιν, ἀλλὰ περὶ φοβερῶν πραγμάτων, εἴτε ἐν οὐρανῷ, εἴτε ἐν τῇ γῇ), πρόθου τὸν Θεὸν καὶ τὴν κρίσιν πρὸ ὀφθαλμῶν σου, καὶ ὅτι ὀλίγον καιρὸν ἔχομεν ἐν τῷ κόσμῳ ποιῆσαι· καὶ ἀνάπαυσον τὴν πρᾳότητα εἰς τὴν καρδίαν σου, μιμνησκόμενος τοῦ προβάτου καὶ ἀμνοῦ ἀκάκου Χριστοῦ, πόσα ὑπέμεινεν ἀνεύθυνος ὤν, ὕβρεις, δαρμούς, καὶ τὰ λοιπά· ἡμεῖς δὲ καὶ ὅτι ὑπεύθυνοί ἐσμεν, τί κινούμεθα πρὸς τὸν πλησίον μηδὲν παρ' αὐτοῦ παθόντες; Μνήσθητι ὅτι ἡ ἀγάπη οὐ περπερεύεται, ἀλλὰ μακροθυμεῖ καὶ τὰ ἑξῆς· καὶ εὖξαι τοῦ φθάσαι εἰς τὰ προκείμενά σοι, ἵνα μὴ εἰς κενὸν ἔσται σου ὁ κόπος. Κολλήθητι οὖν ἀδιστάκτως τῷ ἡμᾶς ἀγαπήσοντι Χριστῷ.

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

61. Ἰὼβ 34,7.

62. Τὸ κινοῦμαι ἐδῶ ὅπως καὶ παρακάτω ἡ λέξη 'κίνηση' σημαίνει τὴν τὴν ψυχικὴ διαταραχή, τὴ δαιμονικὴ ἐπίδραση.

Ἰὼβ ποὺ ἔπινε τὸ περιχλεύασμα σὰν ποτό[61]· αὐτὰ νὰ κάνεις καὶ σ' αὐτὰ νὰ μελετᾶς γιὰ πάντα.

20

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ τὸν ἐρώτησε, 'ἐὰν ὁ Θεὸς μοῦ ἔδωσε τὴ δύναμη νὰ πατῶ πάνω σὲ φίδια καὶ σὲ σκορπιούς, πῶς κινοῦμαι;'[62].

Ποιός ἐπῆρε τὴ δύναμη νὰ πατᾶ ἐπάνω στὰ φίδια καὶ στοὺς σκορπιοὺς[63] καὶ ἀδικεῖται ἀκόμα ἀπὸ αὐτὰ ἢ κατακυριεύεται; Ἐρεύνησε λοιπὸν τὴν καρδιά σου, ἀπὸ κάθε πρᾶγμα, καὶ ἐὰν μπορεῖ νὰ κινήσει τὴν καρδιά σου, ἔστω καὶ ἐλαφρά, μάθε ὅτι εἶσαι ἀκόμα μακριὰ ἀπὸ τὸ νὰ λάβεις ἐξουσία ἐναντίον αὐτῶν, καὶ νὰ μὴ δείξεις ἀμέλεια γιὰ τὸν ἑαυτό σου οὔτε ποτὲ νὰ σὲ προκαταλάβει ὁ καιρός. Ἀλλά, ἐὰν δεῖς κάποιο πρᾶγμα νὰ συμβαίνει (δὲν ὁμιλῶ γιὰ τὰ ἐγκόσμια, ποὺ εἶναι παρερχόμενα, ἀλλὰ γιὰ φοβερὰ πράγματα, εἴτε στὸν οὐρανὸ εἴτε στὴ γῆ), τοποθέτησε τὸ Θεὸ καὶ τὴν κρίση μπροστὰ στὰ μάτια σου, καὶ ὅτι ἔχουμε λίγον καιρὸ στὸν κόσμο νὰ τὰ κάνουμε· καὶ ἀνάπαυσε τὴν πραότητα στὴν καρδιά σου, ἐνθυμούμενος τὸ πρόβατο καὶ τὸν ἄκακο ἀμνὸ[64] Χριστό, πόσα ὑπέφερε, ἂν καὶ δὲν εὐθυνόταν, ὕβρεις, δαρμοὺς καὶ τὰ λοιπά. Ἐνῶ ἐμεῖς, ποὺ εἴμαστε καὶ ὑπεύθυνοι, γιατί κινούμαστε ἐναντίον τοῦ πλησίον μας, ἀφοῦ δὲν πάθαμε τίποτε ἀπὸ αὐτόν; Θυμήσου ὅτι ἡ ἀγάπη δὲν ἀλαζονεύεται, ἀλλὰ μακροθυμεῖ[65] καὶ τὰ λοιπά, καὶ εὐχήσου νὰ φθάσεις σ' αὐτὰ ποὺ βρίσκονται μπροστά σου, γιὰ νὰ μὴ πέσει ὁ κόπος σου στὸ κενό[66]. Προσκολλήσου λοιπὸν ἀδίστακτα στὸν Χριστὸ ποὺ μᾶς ἀγάπησε.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

63. Λουκᾶ 10,19.
64. Ἠσ. 53,7.
65. Α' Κορ. 13,4.
66. Α' Τιμ. 3,5.

ΚΑ΄

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν ἐνθυμηθέντα μηδενὶ ἐπιτάξαι τίποτε, ἀλλ᾽ ἑαυτῷ ὁρίσαι φανερὸν πρᾶγμα, ἵνα αὐτοῦ καὶ μόνου φροντίζῃ.*

Ἀδελφέ, ὅσον πλεονάζω τοῦ γράψαί σοι, τοσοῦτον σπούδασον κατανοῆσαι τὰ παρ᾽ ἐμοῦ γραφόμενά σοι, καὶ μὴ ἀκυρώσῃς αὐτά· λαλοῦνται γὰρ ἐν συνέσει καὶ καταστάσει ψυχῆς. Οἶδας, ἀδελφέ, ὅτι εἴ τις οὐ βαστάζει ὕβρεις, οὐ βλέπει τὴν δόξαν· καὶ εἴ τις οὐκ ἀποτίθεται τὴν χολήν, οὐ γεύεται τῆς γλυκύτητος. Ἐδόθης εἰς τὸ μέσον τῶν ἀδελφῶν καὶ τῶν πραγμάτων πυρωθῆναι καὶ δοκιμασθῆναι· ἐὰν γὰρ διὰ πυρὸς οὐ δοκιμάζεται τὸ χρυσίον, μηδὲν παντελῶς σεαυτῷ διατάξῃς, ἐπεὶ εἰς πόλεμον καὶ μέριμναν ἔρχῃ. Ἀλλὰ τὰ κατὰ καιρὸν δοκιμάζων κατὰ φόβον Θεοῦ καὶ μηδὲν ὅλως κατ᾽ ἐρίθειαν, ἀλλὰ ποιῶν σου τὴν δύναμιν ἀλλότριον εἶναι τῆς ὀργῆς καὶ τύπος γινόμενος ὠφέλιμος πᾶσι, μὴ κρίνων τινά, μηδὲ κατακρίνων, ἀλλὰ νουθετῶν ὡς ἀδελφοὺς γνησίους, καὶ μᾶλλον ἀγάπησον τοὺς σὲ πειράζοντας· κᾀγὼ γὰρ πολλάκις ἠγάπων τοὺς πειράζοντάς με. Ἐὰν γὰρ συνιῶμεν, οἱ τοιοῦτοι φέρουσιν ἡμᾶς εἰς προκοπήν.

Μηδὲν οὖν σεαυτῷ διατάξῃς, γενοῦ ὑπήκοος καὶ ταπεινὸς καὶ καθ᾽ ἑκάστην ἡμέραν σεαυτὸν ἀπαίτει· καὶ γὰρ ὁ προφήτης σημαίνων τὸ καθ᾽ ἡμέραν ἔλεγε· «καὶ εἶπα, νῦν ἠρξάμην»· καὶ Μωϋσῆς, «καὶ νῦν, Ἰσραήλ». Τὸ οὖν 'νῦν' καὶ σὺ κράτει· εἰ δὲ καὶ γίνεταί σοι ἀνάγκη προστάξαι τινί, δοκίμασόν σου τὸν λογι-

21

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ σκέφθηκε νὰ μὴ διατάξει τίποτε σὲ κανέναν, ἀλλὰ νὰ ὁρίσει γιὰ τὸν ἑαυτό του κάποιο φανερὸ πρᾶγμα, ὥστε νὰ φροντίζει μόνο γι' αὐτό.

Ἀδελφέ, ὅσο περισσότερα σοῦ γράφω, τόσο φρόντισε νὰ κατανοήσεις αὐτὰ ποὺ σοῦ γράφω καὶ μὴ τὰ ἀκυρώσεις· διότι λέγονται μὲ σύνεση καὶ ἥρεμη κατάσταση ψυχῆς. Γνωρίζεις, ἀδελφέ, ὅτι, ἐὰν κάποιος δὲν ὑπομείνει τὶς ὕβρεις, δὲν βλέπει τὴ δόξα· καὶ ἐὰν κάποιος δὲν παραμερίσει τὴν πίκρα, δὲν γεύεται τὴ γλυκύτητα. Παραδόθηκες ἀνάμεσα στοὺς ἀδελφοὺς καὶ στὰ πράγματα γιὰ νὰ πυρωθεῖς καὶ νὰ δοκιμασθεῖς· διότι, ἐὰν ὁ χρυσὸς δὲν δοκιμάζεται μὲ τὴ φωτία, νὰ μὴ διατάξεις τίποτε στὸν ἑαυτό σου, διότι ἔρχεσαι σὲ πόλεμο καὶ φροντίδα. Ἀλλὰ δοκιμάζοντας τὰ πράγματα στὸν καιρό τους σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ καὶ καθόλου μὲ ἐριστικότητα, καὶ ἀπαλλάσσοντας τὴ δύναμή σου ἀπὸ τὴν ὀργὴ καὶ γινόμενος τύπος ὠφέλιμος, χωρὶς νὰ κρίνεις κανένα οὔτε καὶ νὰ κατακρίνεις, ἀλλὰ συμβουλεύοντας σὰν γνήσιους ἀδελφούς, ἀγάπησε περισσότερο αὐτοὺς ποὺ σὲ πειράζουν· διότι καὶ ἐγὼ πολλὲς φορὲς ἀγάπησα ἐκείνους ποὺ μὲ πείραζαν. Διότι, ἐὰν δείχνουμε σύνεση, αὐτοὶ θὰ μᾶς ὁδηγήσουν στὴν προκοπή.

Μὴ διατάξεις λοιπὸν τίποτε στὸν ἑαυτό σου, ἀλλὰ γίνε ὑπάκοος καὶ ταπεινὸς καὶ κάθε ἡμέρα νὰ ἀπαιτεῖς ἀπὸ τὸν ἑαυτό σου· διότι καὶ ὁ προφήτης δηλώνοντας τὸ «κάθε ἡμέρα», ἔλεγε· «Καὶ εἶπα, τώρα ἄρχισα»[67]· καὶ ὁ Μωϋσῆς, «καὶ τώρα, Ἰσραήλ»[68]. Τὸ 'τώρα' λοιπὸν καὶ ἐσὺ ἐφάρμοζε· καὶ ἐὰν ὑπάρχει γιὰ σένα ἀνάγκη νὰ διατάξεις κάποιον, δοκίμασε τὸν λογισμό

---

67. Ψαλμ. 76, 10.
68. Δευτ. 10,12.

σμόν, εἰ κατὰ κίνησιν μέλλει ἐξελθεῖν. Κἂν οὐ δοκῇ σοι ὠφέλιμος εἶναι κρύψον αὐτὸν ὑπὸ τὴν γλῶσσαν, μεμνημένος εὐθὺς τοῦ εἰπόντος· «τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;».

Τοῦτο δὲ μάθε, ἀδελφέ μου· ὅτι πᾶς λογισμὸς μὴ προηγουμένως τὴν γαλήνην τῆς ταπεινώσεως ἔχων, κατὰ Θεὸν οὐκ ἔστιν, ἀλλὰ φανερῶς τῶν ἀριστερῶν ἐστιν, ὁ γὰρ Κύριος ἡμῶν μετὰ γαληνότητος ἔρχεται· ὅλα δὲ τὰ τοῦ ἀντιδίκου μετὰ ταραχῆς καὶ κινήσεως. Κἂν δοκῶσιν ἐνδύεσθαι ἔνδυμα προβάτων, ὅτι ἔσωθέν εἰσι λύκοι ἅρπαγες, ἀπὸ τῆς ταραχῆς αὐτῶν φανεροῦνται· φησὶ γάρ, «ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς». Δῴη ἡμῖν πᾶσιν ὁ Θεὸς συνιέναι τοῦ μὴ πλανηθῆναι εἰς τὰς δικαιοσύνας αὐτῶν· «πάντα γὰρ γυμνὰ αὐτῷ καὶ τετραχηλισμένα».

Σὺ οὖν, ἀγαπητέ, πᾶν τὸ κατευοδούμενον ἐν ταῖς χερσί σου ποίησον, προτιθεὶς τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν σου καὶ εὐχαριστῶν αὐτῷ· αὐτοῦ γάρ ἐστιν ἡ δόξα καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΒ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, παραψυχὴν ἔχουσα καὶ ἀνακαλουμένη αὐτὸν εἰς πνευματικὴν εὐφροσύνην ἐκ τῆς διαφόρως συμβάσης αὐτῷ ἀθυμίας.*

Γράψον τῷ ἀδελφῷ Ἰωάννῃ προσηγορίαν πνευματικὴν εὐφραίνουσαν τὴν αὐτοῦ καρδίαν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν καὶ εἰπὲ αὐτῷ. Ἐπειδὴ καθὼς ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖς ἡμᾶς

---

69. Ματθ. 16,26.
70. Ματθ. 7,15.

σου, ἐὰν πρόκειται νὰ ἐξέλθει μὲ κίνηση. Καὶ ἂν δὲν σοῦ φαίνεται ὅτι εἶναι ὠφέλιμος, κρύψε τον κάτω ἀπὸ τὴ γλώσσα, ἐνθυμούμενος ἀμέσως αὐτὸν ποὺ εἶπε· «τί θὰ ὠφεληθεῖ ὁ ἄνθρωπος, ἐὰν κερδίσει ὅλο τὸν κόσμο, χάσει ὅμως τὴν ψυχή του;»[69].

Μάθε καὶ αὐτό, ἀδελφέ μου· ὅτι κάθε λογισμός, ἐὰν δὲν ἔχει προηγουμένως τὴ γαλήνη τῆς ταπεινώσεως, δὲν εἶναι κατὰ Θεόν, ἀλλὰ εἶναι φανερὰ ἀπὸ τὰ ἀριστερά· διότι ὁ Κύριός μας ἔρχεται μὲ γαλήνη, ἐνῶ ὅλα τὰ τοῦ ἀντιδίκου μὲ ταραχὴ καὶ κίνηση. Καὶ ἐὰν ἀκόμα φαίνονται ὅτι φοροῦν ἔνδυμα προβάτων, τὸ ὅτι ἀπὸ μέσα εἶναι λύκοι ἅρπαγες, γίνεται φανερὸ ἀπὸ τὴν ταραχή τους[70]· διότι λέγει, «ἀπὸ τοὺς καρπούς τους θὰ τοὺς γνωρίσετε»[71]. Ἂς μᾶς βοηθήσει ὁ Θεὸς ὅλους νὰ ἀποκτήσουμε σύνεση, ὥστε νὰ μὴ πλανηθοῦμε στὶς δικαιοσύνες τους· «διότι ὅλα σ' αὐτὸν εἶναι γυμνὰ καὶ ὁλοφάνερα»[72].

Ἐσὺ λοιπόν, ἀδελφέ, νὰ κάνεις κάθε τι ποὺ εἶναι στὸ χέρι σου, τοποθετώντας τὸ φόβο τοῦ Θεοῦ μπροστὰ στὰ μάτια σου καὶ εὐχαριστώντας αὐτόν· διότι σ' αὐτὸν ἀνήκει ἡ δόξα καὶ ἡ τιμὴ στοὺς αἰῶνες. Γένοιτο.

22

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ περιέχει παρηγοριὰ καὶ τὸν ἀνακαλεῖ σὲ πνευματικὴ εὐφροσύνη ἀπὸ τὴν ἀθυμία ποὺ τοῦ συνέβηκε.

Γράψε στὸν ἀδελφὸ Ἰωάννη πνευματικὴ προσφώνηση ποὺ εὐφραίνει τὴν καρδιά του στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας καὶ πές του. Ἐπειδή, ὅπως τὸ ἐλάφι ποθεῖ τὶς πηγὲς τῶν ὑδάτων, ἔτσι καὶ σὺ ποθεῖς ἐμᾶς[73],

71. Ματθ. 7,16.
72. Ἑβρ. 4,13.
73. Ψαλμ. 41,1.

ἀλλ' οὐχ ὡς ἡμεῖς σέ, οὕτω μὴ στέγων, καθὼς εἶπεν ὁ θειότατος Ἀπόστολος Παῦλος, ἔγραψα τῇ ὑμετέρᾳ ἀγάπῃ ταῦτα τὰ παρ' ἐμοῦ εἰρημένα, μᾶλλον δὲ παρὰ τοῦ Θεοῦ. Καρποφορήσοι ἡ ἄμπελός σου σταφυλὴν πατουμένην, καὶ ποιοῦσαν οἶνον πνευματικόν, εὐφραίνοντα ψυχὴν τεθλιμμένην, καὶ εὐφορήσοι ἡ χώρα σου καλὸν σπέρμα, ὡς τὸ σπαρὲν εἰς τὴν καλὴν γῆν, καὶ ποιῆσαν ἓν ἑκατόν, ἓν ἑξήκοντα, ἓν τριάκοντα, καὶ θερμανθείη τὸ πνευματικὸν πῦρ ἐν τῇ καρδίᾳ σου διὰ παντός, ὃ εἶπεν ὁ Δεσπότης ἡμῶν Χριστός, «πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν»· καὶ βραβευθείη ἡ τοῦ Κυρίου εἰρήνη ἐν τῇ σῇ καρδίᾳ, κατὰ τὸν ἀποστολικὸν λόγον, καὶ ὑψωθείη σου ὁ φοίνιξ ἐν τοῖς αὐτοῦ λευκάδοις», κατὰ τὸν Δαβὶδ τὸν λέγοντα· «δίκαιος ὡς φοίνιξ ἀνθήσει»· καὶ καθαρισθείης ἀπὸ τῆς ὀργῆς καὶ τοῦ θυμοῦ τῶν δεινῶν παθῶν ὡς οἱ τέλειοι ἅγιοι, παρ' οἷς οὐδόλως φαίνεται ἡ τούτων κίνησις, οὐδὲ πρὸς ῥοπήν.

Καταξιώσαι δὲ ὁ Κύριος τὴν ψυχήν σου αὐλισθῆναι ἐν τῇ ἀκακίᾳ καὶ πρᾳότητι· ὡς εἶναι σε θρέμμα Χριστοῦ, πρόβατον ἄκακον· καταλάβοις δὲ τὰ ἴχνη ἡμῶν ὡς ἰχνηλάτης φρόνιμος· φθάσαις δὲ τὸν κανόνα ἡμῶν ὡς κληρονόμος καλὸς τῶν ἐμῶν χαρισμάτων. Ἰδέτωσαν δέ σου οἱ ὀφθαλμοὶ τὸν Θεὸν ὡς καθαρὸς τῇ καρδίᾳ· εἴης δὲ μακρόθυμος ἐν ταῖς θλίψεσιν, ὡς καταντήσας εἰς τὴν δεσποτικὴν παραγγελίαν τὴν λέγουσαν, «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»· φθάσαις δὲ τὴν ἀήττητον ἀγάπην τὴν εἰσφέρουσαν τοὺς αὐτὴν κεκτημένους εἰς τὰς βασιλικὰς αὐλάς, καὶ ἀδελφοὺς ποιήσασαν τοῦ Χριστοῦ. Εἰ οὖν συμπάσχεις τῷ Χριστῷ, ἵνα συνδο-

74. Α' Θεσ. 3,5.
75. Ματθ. 13,8.22.
76. Λουκᾶ 12,49.
77. Ψαλμ. 91,12.

ἀλλὰ ὄχι ὅπως ἐμεῖς ἐσένα, γι' αὐτὸ ἀνυπόμονα[74], ὅπως εἶπε καὶ ὁ θειότατος Ἀπόστολος Παῦλος, ἔγραψα στὴ δική σου ἀγάπη αὐτὰ ποὺ λέχθηκαν ἀπὸ μένα, ἢ καλύτερα ἀπὸ τὸ Θεό. Εἴθε τὸ ἀμπέλι σου νὰ καρποφορήσει μὲ σταφύλια, τὰ ὁποῖα πατούμενα κάνουν πνευματικὸ οἶνο, ποὺ εὐφραίνει τὴ θλιμμένη ψυχή, καὶ εἴθε ἡ χώρα σου νὰ καρποφορήσει καλὸ σπέρμα, ὅπως ἐκεῖνο ποὺ σπάρθηκε στὴν καλὴ γῆ καὶ ἔκανε τὸ ἕνα ἑκατό, τὸ ἕνα ἑξήντα, τὸ ἕνα τριάντα[75]· καὶ εἴθε ἡ πνευματικὴ φωτιὰ νὰ θερμανθεῖ στὴν καρδιά σου γιὰ πάντα, πρᾶγμα ποὺ εἶπε καὶ ὁ Δεσπότης μας Χριστός, «φωτιὰ ἦρθα νὰ βάλω στὴ γῆ»[76]· εἴθε καὶ ἡ εἰρήνη τοῦ Κυρίου νὰ βραβευθεῖ στὴν καρδιά σου, σύμφωνα μὲ τὸν ἀποστολικὸ λόγο, καὶ ὁ φοίνικάς σου νὰ ὑψωθεῖ στὶς λεῦκες του, σύμφωνα μὲ τὸν Δαβὶδ ποὺ λέγει· «ὁ δίκαιος θὰ ἀνθίσει ὅπως ὁ φοίνικας»[77]· εἴθε νὰ καθαρισθεῖς ἀπὸ τὴν ὀργὴ καὶ τὸ θυμὸ τῶν φοβερῶν παθῶν ὅπως οἱ τέλειοι ἅγιοι, ἀνάμεσα στοὺς ὁποίους δὲν φαίνεται καθόλου ἡ κίνησή τους, οὔτε πρὸς στιγμή.

Καὶ εἴθε ὁ Κύριος νὰ καταξιώσει τὴν ψυχή σου νὰ αὐλισθεῖ[78] στὴν ἀκακία καὶ τὴν πραότητα, γιὰ νὰ εἶσαι θρέμμα Χριστοῦ, ἄκακο πρόβατο, καὶ νὰ φθάσεις τὰ ἴχνη μας σὰν φρόνιμος ἰχνηλάτης, καὶ νὰ φθάσεις τὸν κανόνα μας σὰν καλὸς κληρονόμος τῶν χαρισμάτων μου. Εἴθε τὰ μάτια σου νὰ δοῦν τὸ Θεό, ἐπειδὴ εἶσαι καθαρὸς στὴν καρδιά[79]· νὰ εἶσαι μακρόθυμος στὶς θλίψεις, διότι κατέληξες στὴ δεσποτικὴ παραγγελία ποὺ λέγει, «στὸν κόσμο θὰ ἔχετε θλίψη, ἀλλὰ νὰ ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[80]. Εὔχομαι νὰ φθάσεις στὴν ἀνίκητη ἀγάπη ποὺ ὁδηγεῖ ἐκείνους ποὺ τὴν ἔχουν ἀποκτήσει στὶς βασιλικὲς αὐλὲς καὶ τοὺς κάνει ἀδελφοὺς τοῦ Χριστοῦ. Ἂν συμπάσχεις λοιπὸν μὲ τὸν Χριστό, γιὰ νὰ συνδοξασθεῖς[81] μαζί του, ἐὰν πε-

78. Ψαλμ. 24,13.
79. Ματθ. 5,8.
80. Ἰω. 16,33.
81. Ρωμ. 8,17.

ξασθῇς αὐτῷ· εἰ συναποθνήσκεις αὐτῷ, ἵνα συνεγερθῇς αὐτῷ, μὴ ἀμελήσῃς τοῦ προκειμένου ἔμπροσθέν σου θησαυροῦ· ἀκμὴν γὰρ οὐ κατέλαβες τὴν δύναμιν αὐτοῦ τί ἐστιν. Ὅταν δὲ φθάσῃς τὴν τελείαν ἡσυχίαν, τότε γνώσῃ αὐτόν, καὶ θαυμάσῃς τὴν τοῦ Χριστοῦ δωρεάν· πῶς ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

Ταῦτα γὰρ μετὰ τῶν ἀνθρώπων ὤν, οὐ δύνασαι καταλαβεῖν, ἀλλ' ὅταν καθήσῃς ἀμέριμνος ὡς καὶ ἡμεῖς, τότε καταλαμβάνεις τὰ εἰρημένα· δέομαι γὰρ τοῦ Θεοῦ νύκτα καὶ ἡμέραν, ἵνα ὅπου ἐσμέν, ὁμοθυμαδόν, μεθ' ἡμῶν ᾖς ἐν τῇ χαρᾷ τῶν ἁγίων τῇ ἀνεκλαλήτῳ καὶ ἐν τῷ φωτὶ τῷ αἰωνίῳ, ὅπως εὕρῃς τὴν σὴν μερίδα εἰς τὴν ἐπαγγελίαν τὴν ἐπηγγελμένην τοῖς ἁγίοις, «ὅπου ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

Ἔρρωσο ἐν Κυρίῳ· χαίροις. Ἀμήν.

ΚΓ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Παρακαλῶ σε, πάτερ καὶ διδάσκαλε, μὴ ὀργισθῆναί μοι ἐφ' οἷς πταίω, καὶ δοῦναί μοι κανόνα, πῶς δεῖ χρήσασθαι ἐν τῇ ψαλμῳδίᾳ καὶ νηστείᾳ καὶ προσευχῇ· καὶ εἰ δεῖ διαφορὰν ἔχειν ἡμερῶν.

Ἀπόκρισις

Α*δελφέ, εἰ προσέσχες τοῖς λόγοις τῶν αἰτήσεών σου, κατανοῆσαι εἶχες συνέσεως δύναμιν· ἔχων με πατέρα καὶ διδάσκαλον, διὰ τί καὶ ὀργίλον; ὁ γὰρ πατὴρ οἰ-*

---

82. Β' Τιμ. 2,11.

θαίνεις μαζὶ μ' αὐτόν, γιὰ ν' ἀναστηθεῖς μ' αὐτόν[82], μὴν ἀμελήσεις τὸν θησαυρὸ ποὺ βρίσκεται μπροστά σου· διότι ἀκόμα δὲν κατάλαβες ποιά εἶναι ἡ δύναμή του. Ὅταν ὅμως φθάσεις στὴν τέλεια ἡσυχία, τότε θὰ τὸν γνωρίσεις καὶ θὰ θαυμάσεις τὴ δωρεὰ τοῦ Χριστοῦ· πῶς οἱ δρόμοι του εἶναι ἀνεξιχνίαστοι[83].

Αὐτὰ δὲν μπορεῖς νὰ τὰ καταλάβεις ὅταν βρίσκεσαι μὲ τοὺς ἀνθρώπους, ἀλλὰ ὅταν καθίσεις ἀμέριμνος ὅπως καὶ μεῖς, τότε καταλαβαίνεις τὰ λεχθέντα. Καὶ παρακαλῶ τὸ Θεὸ νύχτα καὶ μέρα, ὥστε, ὅπου εἴμαστε ἐμεῖς, νὰ εἶσαι καὶ σὺ μαζί μας μὲ μία ψυχή, στὴν ἀνεκδιήγητη χαρὰ τῶν ἁγίων καὶ στὸ αἰώνιο φῶς, γιὰ νὰ βρεῖς τὸ μερίδιό σου στὴν ἐπαγγελία ποὺ ἐπαγγέλθηκε στοὺς ἁγίους· ἐκεῖ «ὅπου μάτι δὲν εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε ἀνέβηκαν στὴν καρδιὰ ἀνθρώπου, ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[84].

Ὑγίαινε ἐν Κυρίῳ καὶ χαῖρε. Γένοιτο.

23

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

> Σὲ παρακαλῶ, πατέρα καὶ διδάσκαλε, νὰ μὴ ὀργισθεῖς μαζί μου, ἐξαιτίας τῶν πταισμάτων μου, καὶ νὰ μοῦ δώσεις κανόνα, πῶς πρέπει νὰ συμπεριφέρομαι κατὰ τὴν ψαλμωδία, τὴ νηστεία καὶ τὴν προσευχή· καὶ ἐὰν πρέπει νὰ κάνω διάκριση ἡμερῶν.

Ἀπόκριση

Ἀδελφέ, ἐὰν πρόσεχες τὰ λόγια τῶν αἰτήσεών σου, θὰ μποροῦσες νὰ κατανοήσεις τὴ δύναμη τῆς συνέσεως. Ἀφοῦ μὲ ἔχεις πατέρα καὶ διδάσκαλο, γιατί θὰ μὲ εἶχες καὶ ὀργίλο; διότι ὁ πατέρας εἶναι οἰκτίρμων, μὴ ἔχοντας κα-

83. Ρωμ. 11,13.
84. Α' Κορ. 2,9.

κτίρμων ἐστὶ μὴ ἔχων ὅλως ὀργήν. Καὶ ὁ διδάσκαλος μακρόθυμός ἐστι καὶ ἀλλότριος ὀργῆς τυγχάνει.

Περὶ δὲ οὗ ἠρώτησας κανόνος, διὰ πολλῶν κλαδίων πλεονάζει εἰσελθεῖν διὰ τῆς στενῆς πύλης εἰς τὴν ζωὴν τὴν αἰώνιον. Ἰδοὺ ἐν συντόμῳ λέγει σοι ὁ Χριστός, πῶς δεῖ εἰσελθεῖν· ἄφες τοὺς τῶν ἀνθρώπων κανόνας, καὶ ἄκουσον τοῦ λέγοντος· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»· ἐὰν οὖν μὴ ἔχῃ ἄνθρωπος ὑπομονήν, οὐκ εἰσελεύσεται εἰς τὴν ζωήν. Μὴ οὖν θελήσῃς διαταγήν, οὐ γὰρ θέλω σε ὑπὸ νόμον εἶναι, ἀλλ' ὑπὸ χάριν· φησὶ γὰρ «δικαίῳ νόμος οὐ κεῖται». Θέλομεν δέ σε εἶναι μετὰ τῶν δικαίων.

Διάκρισιν κράτει, ὡς κυβερνήτης πρὸς τοὺς ἀνέμους τὸ σκάφος κυβερνῶν· καὶ ὅτε ἀσθενεῖς πρὸς αὐτό, ποίησον ἐν πᾶσιν οἷς ἔγραψα, καὶ ὅτε ὑγιαίνεις πρὸς αὐτό. Ἐπεὶ καὶ ὅτε ἀσθενεῖ τὸ σῶμα, οὐ κατὰ τὸ εἰωθὸς δέχεται τροφήν. Οὐκοῦν ἤργησε καὶ ἐν τούτῳ ὁ κανών.

Καὶ περὶ τῶν ἡμερῶν, ἔχε αὐτὰς ἴσας, ἁγίας, καλάς.

Πάντα οὖν συνετῶς πράττε καὶ ἀποβαίνει σοι εἰς ζωήν, ἐν Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΔ'

Ἀμφιβολίας γενομένης μεταξὺ τοῦ ἀββᾶ καὶ αὐτοῦ περὶ γράμματος καὶ ἑκάστου αὐτῶν ἀγωνιζομένου μακροθυμῆσαι, ἔπεμψεν αὐτοῖς ὁ Γέρων τὴν ἀπόκρισιν ταύτην, δεικνύων

85. Ματθ. 7,13.
86. Ματθ. 10,22.

θόλου ὀργή. Καὶ ὁ διδάσκαλος εἶναι μακρόθυμος καὶ ξένος πρὸς τὴν ὀργή.

Ὅσο γιὰ τὸν κανόνα ποὺ ἐρώτησες, ἐξαιτίας τῶν πολλῶν κλαδιῶν εἶναι πολὺ πλατύς· πρέπει νὰ εἰσέλθει κανεὶς ἀπὸ τὴ στενὴ πύλη στὴν αἰώνια ζωή[85]. Νά, ὁ Χριστὸς σοῦ λέγει μὲ συντομία πῶς πρέπει νὰ μπεῖς· ἄφησε τοὺς κανόνες τῶν ἀνθρώπων καὶ ἄκουσε αὐτὸν ποὺ σοῦ λέγει· «αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[86]. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος δὲν ἔχει ὑπομονή, δὲν θὰ εἰσέλθει στὴ ζωή. Νὰ μὴ θελήσεις λοιπὸν διαταγή, διότι δὲν θέλω νὰ εἶσαι κάτω ἀπὸ νόμο, ἀλλὰ ἀπὸ τὴ χάρη[87]. Διότι λέγει, «δὲν ὑπάρχει νόμος γιὰ τὸν δίκαιο»[88]. Καὶ θέλουμε ἐσὺ νὰ εἶσαι μὲ τοὺς δίκαιους.

Κράτα τὴ διάκριση, ὅπως ὁ κυβερνήτης κυβερνᾶ τὸ σκάφος ἐνάντια στοὺς ἀνέμους· καὶ πράττε σύμφωνα μὲ ὅλα αὐτὰ ποὺ ἔγραψα καὶ ὅταν ἀδυνατεῖς γι' αὐτὸ καὶ ὅταν ἔχεις τὴ δύναμη γι' αὐτό. Διότι καὶ τὸ σῶμα ὅταν ἀσθενεῖ δὲ δέχεται τὴ συνηθισμένη τροφή. Ἑπομένως ὁ κανόνας ἔμεινε ἀργὸς καὶ σ' αὐτό.

Ὅσο γιὰ τὶς ἡμέρες, νὰ τὶς θεωρεῖς ἴσες, ἅγιες καὶ καλές.

Ὅλα λοιπὸν νὰ τὰ κάνεις μὲ σύνεση καὶ αὐτὸ θὰ σὲ ὁδηγήσει στὴ ζωὴ μὲ τὴ βοήθεια τοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

24

Ἐπειδὴ μεταξὺ τοῦ Ἀββᾶ καὶ αὐτοῦ δημιουργήθηκε ἀμφιβολία γιὰ ἕνα γράμμα, καὶ ὁ καθένας τους προσπαθοῦσε νὰ μακροθυμήσει, ὁ Γέροντας τοὺς ἔστειλε αὐτὴ τὴν ἀπάντηση, γιὰ νὰ δείξει ὅτι ἡ μακροθυμία τους δὲν ἦταν ἀπαλλαγμένη

87. Ρωμ. 6,14.
88. Α' Τιμ. 1,9.

ὅτι οὐκ ἦν καθαρὰ ταραχῆς αὐτῶν ἡ μακροθυμία, ἵνα πάντοτε νήφωσι πρὸς τὸ τελείως ἀτάραχον.

Τέκνον ἀγαπητόν, μὴ νομίσῃς ὅτι ἀφ' ἑαυτῶν ἐπέγνωτε τὸ χθεσινὸν κεφάλαιον τὸ εἰς τὴν ἐπιστολὴν τὴν πρὸς Θεσσαλονικεῖς Παύλου τοῦ Ἀποστόλου· ἀλλ' ἐγὼ εἰδὼς τὸ πέρπερον τῆς ὑπομονῆς ὑμῶν, ὅτι μετ' ὀργῆς ἐστι μεμιγμένον, ἐδεήθην ὑπὲρ ὑμῶν τοῦ Θεοῦ, ὅπως ἂν γνῶτε αὐτὸ τὸ κεφάλαιον· εἰς αὐτὸ γὰρ κεῖται ὅλη ἡ δύναμις τῶν ἐπιστολῶν τῶν παρ' ἐμοῦ διὰ σοῦ γραφεισῶν τῷ ἀδελφῷ Ἰωάννῃ. Οὐ μόνον δέ, ἀλλὰ καὶ προσέχετε οἷς μέλλετε σήμερον ἀναγνῶναι κεφαλαίοις· λέγω δὴ τοῦ Ἀποστόλου Παύλου καὶ τοῦ ἁγίου Εὐαγγελίου, ὅτι ἐκείνην ἔχουσι τὴν δύναμιν· καὶ ἀνάγνωτε αὐτὰ τρίτον, ἀνακρίνοντες τὴν τῶν λόγων δύναμιν, ὠφελείας ψυχικῆς χάριν· πάνυ γὰρ βαστάζω καὶ φροντίζω ὑμῶν κατὰ Θεόν. Συγκοπιάσατε οὖν μοι καὶ συναθλήσατε κόψαι ἀφ' ὑμῶν τὴν ὀργὴν καὶ τὸν θυμόν· ἀγῶνος γὰρ χρεία συμβοηθοῦντος τοῦ Θεοῦ.

Εἰσὶ δὲ τὰ κεφάλαια ταῦτα ἐκ τῆς πρὸς Θεσσαλονικεῖς πρώτης· ἀπὸ τοῦ, «ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ», ἕως τοῦ τέλους τῆς ἐπιστολῆς. Ὡς ἐκ τῆς πρὸς Κορινθίους πρώτης, ἀπὸ τοῦ, «περὶ δὲ τῶν πνευματικῶν οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, οἴδατε ὅτε ἦτε ἔθνη», ἕως τοῦ, «ἀλλὰ ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους ἐν τῷ νοΐ μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ». Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, ἀπὸ τοῦ, «ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον καὶ εὐσπλαγχνίσθη ἐπ' αὐτούς, καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐ-

---

89. Α' Θεσ. 5,12.
90. Α' Κορ. 12,1–2.

ἀπὸ ταραχή, καὶ νὰ τοὺς συστήσει, ὥστε πάντοτε νὰ νήφουν πρὸς τὸ ἐντελῶς ἀτάραχο.

Αγαπητό μου τέκνο, μὴ νομίσεις ὅτι κατανοήσατε ἀπὸ μόνοι σας τὸ χθεσινὸ κεφάλαιο ποὺ ὑπάρχει στὴν ἐπιστολὴ τοῦ Ἀποστόλου Παύλου πρὸς Θεσσαλονικεῖς· ἀλλὰ ἐγώ, γνωρίζοντας τὴν ἀλαζονεία τῆς ὑπομονῆς σας, ὅτι εἶναι ἀναμιγμένη μὲ ὀργή, παρακάλεσα γιὰ σᾶς τὸ Θεό, γιὰ νὰ μπορέσετε νὰ κατανοήσετε αὐτὸ τὸ κεφάλαιο· διότι σ' αὐτὸ στηρίζεται ὅλη ἡ δύναμη τῶν ἐπιστολῶν ποὺ γράφηκαν ἀπὸ μένα διὰ σοῦ στὸν ἀδελφὸ Ἰωάννη. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ προσέχετε καὶ τὰ κεφάλαια τὰ ὁποῖα πρόκειται νὰ διαβάσετε σήμερα, ἐννοῶ τοῦ Ἀποστόλου Παύλου καὶ τοῦ ἁγίου Εὐαγγελίου, διότι ἔχουν ἐκείνη τὴ δύναμη· καὶ διαβάστε τα τρεῖς φορές, ἐξετάζοντας τὴ δύναμη τῶν λόγων πρὸς χάριν ψυχικῆς ὠφέλειας· διότι πολὺ ὑποφέρω καὶ φροντίζω γιὰ σᾶς κατὰ Θεόν. Κοπιάστε λοιπὸν καὶ ἀγωνισθεῖτε μαζί μου γιὰ νὰ ἀποκόψετε ἀπὸ ἐπάνω σας τὴν ὀργὴ καὶ τὸ θυμό· διότι χρειάζεται ἀγώνας μὲ τὴ βοήθεια τοῦ Θεοῦ.

Τὰ κεφάλαια αὐτὰ εἶναι ἀπὸ τὴν Α΄ πρὸς Θεσσαλονικεῖς, ἀπὸ τὸ χωρίο, «σᾶς παρακαλοῦμε, ἀδελφοί, νὰ σέβεσθε ἐκείνους ποὺ κοπιάζουν ἀνάμεσά σας καὶ εἶναι προϊστάμενοί σας κατὰ τὸ θέλημα τοῦ Κυρίου»[89], μέχρι τὸ τέλος τῆς ἐπιστολῆς. Ἐπίσης ἀπὸ τὴν Α΄ πρὸς Κορινθίους, ἀπὸ τό, «δὲν θέλουμε νὰ ἔχετε ἄγνοια, ἀδελφοί, γιὰ τὰ πνευματικὰ χαρίσματα· διότι γνωρίζετε ὅταν ἤσασταν ἐθνικοί»[90], μέχρι τό, «ἀλλὰ μέσα στὴν ἐκκλησία θέλω νὰ πῶ πέντε λόγους ποὺ εἶναι κατανοητοί, γιὰ νὰ κατηχήσω καὶ ἄλλους, παρὰ μύριους λόγους μὲ γλώσσα ἀκατανόητη»[91]. Ἀπὸ τὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο, ἀπὸ τό, «ὅταν βγῆκε ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλο, τοὺς ὁποίους εὐσπλαχνίσθηκε καὶ θεράπευσε τοὺς ἀρρώστους τους»[92], μέχρι τό, «ἐκεῖνοι

91. Α΄ Κορ. 14,19.

92. Ματθ. 14,14.

τῶν», ἕως τοῦ, «οἱ δὲ ἐν τῷ πλοίῳ ὄντες προσεκύνησαν αὐτῷ λέγοντες, 'ἀληθῶς Θεοῦ Υἱός εἶ'».

ΚΕ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, καὶ πρὸς τὸν ἀββᾶν, βουλόμενον ἐφάπαξ σφίγξαι τὸν κανόνα κατὰ τῶν ἀδελφῶν.*

Καὶ σοὶ λέγω, τέκνον, καὶ τῷ ἀδελφῷ, προεγράφη ὑμῖν περὶ τῆς μακροθυμίας· καὶ νῦν λέγω ὅτι «ἀμέλγησον γάλα καὶ ἔσται βούτυρον, ἐὰν σφίγξῃς χεῖρα εἰς μαζὸν ἐξέρχεται αἷμα». Καὶ πάλιν ὁ ἅγιος Παῦλος λέγει, «ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω» καὶ τὰ ἑξῆς. Ὕστερον λέγει· «τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω». Εἴ τις γὰρ θέλει ἀνακλάσαι δένδρον ἢ ἄμπελον, κατὰ πρόσβασιν ἀνακλᾷ καὶ οὐ κλᾶται· ἐὰν δὲ ἐφάπαξ ἑλκύσῃ σφοδρῶς, κλᾶται εὐθὺς τὸ πρᾶγμα.

Νόησον τὸ λεγόμενον.

ΚS'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς αὐτόν, ἐκφάναντα τινά, περὶ ὧν αὐτῷ παρήγγειλε μηδενὶ εἰπεῖν, καὶ διὰ τοῦτο πειρασμῷ περιπεσόντα. Καὶ περὶ τελείας μακροθυμίας.*

Εἰπὲ τῷ ἀδελφῷ· «γέγραπται, εἴ τις πνεῦμα Θεοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ». Πρόσεχε πόθεν σοι γέγονεν ἡ διχοστασία τῆς συνοχῆς τῆς θλίψεως τῶν λογισμῶν τούτων, εἰ μὴ ἀπὸ τῆς γεγονυίας προδοσίας τῆς παραβά-

---

93. Ματθ. 14,33.
94. Παρμ. 14,33.
95. Α' Κορ. 9,20.

ποὺ βρίσκονταν στὸ πλοῖο τὸν προσκύνησαν, λέγοντας, 'ἀληθινὰ εἶναι Υἱὸς Θεοῦ»[93].

25

Ἀπάντηση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο καὶ πρὸς τὸν Ἀββᾶ, ἐπειδὴ ἤθελε ἀπότομα νὰ σφίξει τὸν κανόνα στοὺς ἀδελφούς.

Καὶ σὲ σένα τὸ λέγω, τέκνο μου, καὶ στὸν ἀδελφό, ὅτι γράφηκε προηγουμένως σὲ σᾶς γιὰ τὴν μακροθυμία· καὶ τώρα σᾶς λέγω, «ἄρμεξε γάλα καὶ θὰ βγάλεις βούτυρο· ἐὰν σφίξεις τὸ χέρι στὸ μαστὸ βγαίνει αἷμα»[94]. Καὶ πάλι ὁ ἅγιος Παῦλος λέγει, «συμπεριφέρθηκα στοὺς Ἰουδαίους σὰν Ἰουδαῖος, γιὰ νὰ κερδίσω τοὺς Ἰουδαίους»[95], καὶ τὰ λοιπά. Στὴ συνέχεια λέγει· «ἔχω γίνει τὰ πάντα σὲ ὅλους, γιὰ νὰ σώσω ὁπωσδήποτε μερικούς»[96]· ὅπως δηλαδή, ἐὰν κάποιος θέλει νὰ λυγίσει δένδρο ἢ ἀμπέλι, τὸ λυγίζει σιγὰ σιγὰ καὶ δὲν σπάζει· ἐὰν τὸ τραβήξει ἀπότομα δυνατά, ἀμέσως τὸ πρᾶγμα σπάζει.

Σκέψου βαθειὰ τὸ λεγόμενο.

26

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο, ποὺ φανέρωσε κάτι ἀπὸ αὐτὰ ποὺ τοῦ παρήγγειλε νὰ μὴ τὰ πεῖ σὲ κανένα καὶ γι' αὐτὸ ἔπεσε σὲ πειρασμό. Καὶ γιὰ τέλεια μακροθυμία.

Πὲς στὸν ἀδελφό· «ἔχει γραφεῖ, ἐὰν κανεὶς δὲν ἔχει Πνεῦμα Θεοῦ, αὐτὸς δὲν εἶναι δικός του»[97]· πρόσεχε ἀπὸ ποῦ σοῦ ἔχει γίνει ἡ διχοστασία τῆς συνοχῆς τῆς θλίψεως αὐτῶν τῶν λογισμῶν, ἐὰν ὄχι ἀπὸ τὴν προδοσία ποὺ

96. Α΄ Κορ. 9,22.
97. Ρωμ. 8,9.

σεως τῆς ἐμῆς ἐντολῆς. Πολλάκις γὰρ ἐνετειλάμην σοι μηδενὶ λέγειν τὸ μυστήριον, καὶ εὐφήμησας αὐτὸ πολλοῖς. Μήτι ἐγώ εἰμι ὁ Χριστός, ὅτι ὅτε ἐνετείλατο μηδενὶ εἰπεῖν, τότε τοῖς ὄχλοις καὶ πᾶσιν ὑπερευφήμησαν τὸν λόγον; Ἀλλ' ὅμως τοῦ μὴ πλῆξαι τὸν πλησίον, αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ Χριστοῦ, τοῦ ἐν πολλῇ πρᾳότητι καὶ ἐπιεικείᾳ ἐλθόντος εἰς σωτηρίαν ἀνθρώπων. Ἐὰν γὰρ μὴ γένηται ὡς ψιχίον ὁ ἄνθρωπος, οἰκῆσαι μετὰ ἀνθρώπων οὐ δύναται. Βλέπε δὲ ὅτι εἶπεν ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς· «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς».

Εἰ οὖν ἡ κλῆσις τῆς ἀγάπης σου πρὸς ἡμᾶς ἐκ Θεοῦ καὶ οὐκ ἐξ ἀνθρώπων ἐστίν, κοπίασον μεγάλην ὑπομονὴν κτήσασθαι· ἐγράφη γάρ σοι τὰ πάλαι γεγραμμένα, «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν». Βάλε οὖν ἀρχὴν πάλιν εἰς τήρησιν καὶ φυλακὴν τῶν παρ' ἐμοῦ σοι λεγομένων· οὐ γάρ ἐστι καιρὸς τοῦ φανερῶσαι ἄρτι.

Εὐθύμει οὖν ἐν Κυρίῳ.

ΚΖ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν λυπούμενον ὅτι ἐχρόνισε γράψαι αὐτῷ, καὶ ἐκ τούτου νομίζοντα, ὅτι ἀπέβαλεν αὐτὸν τῆς μνήμης.*

Γράψον διὰ χρόνου τῷ ἀδελφῷ, πρῶτον χαρὰν καὶ εὐφροσύνην καὶ ἀσπασμὸν ἐν Κυρίῳ, καὶ εἰπὲ αὐτῷ· Μὴ νομίσης, ἀγαπητέ μου, ὅτι εἰς λήθην παρέδωκά σου τὴν μνήμην ἀπὸ τῆς καρδίας μου καὶ τὴν ἀναβολὴν τοῦ γράψαι σοι, ἀλλὰ προσέχων τῇ σῇ ἀναστροφῇ, ἐμακροθύμησα ἕως τοῦ νῦν. Τοῦτο δὲ πληροφορήθητι, ὅτι, καθὼς οὐκ ἐπιλανθάνεται ὁ

ἔχει γίνει σχετικὰ μὲ τὴν παράβαση τῆς ἐντολῆς μου. Διότι πολλὲς φορὲς σοῦ παρήγγειλα νὰ μὴ πεῖς σὲ κανένα τὸ μυστικὸ καὶ σὺ τὸ διέδωσες σὲ πολλούς. Μήπως ἐγὼ εἶμαι ὁ Χριστός, ὁ ὁποῖος, ὅταν παρήγγειλε νὰ μὴ τὸ ποῦν σὲ κανέναν, τότε διέδοσαν τὸ λόγο στοὺς ὄχλους καὶ σ' ὅλους; Ἀλλ' ὅμως τὸ νὰ μὴ χτυπήσει κανεὶς τὸν πλησίον, αὐτὴ εἶναι ἡ ὁδὸς τοῦ Χριστοῦ, ποὺ ἦλθε μὲ πολλὴ πραότητα καὶ ἐπιείκεια γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Διότι, ἐὰν ὁ ἄνθρωπος δὲν γίνει σὰν ψίχουλο, δὲν μπορεῖ νὰ κατοικίσει μὲ ἀνθρώπους. Πρόσεχε τί εἶπε ὁ Χριστὸς στοὺς μαθητές του· «δὲν μὲ διαλέξατε ἐσεῖς, ἐγὼ σᾶς διάλεξα»[98].

Ἐὰν λοιπὸν ἡ κλήση τῆς ἀγάπης σου πρὸς ἐμᾶς δὲν εἶναι ἀπὸ τοὺς ἀνθρώπους, ἀλλὰ ἀπὸ τὸ Θεό, κοπίασε ν' ἀποκτήσεις μεγάλη ὑπομονή· διότι σοῦ γράφηκαν αὐτὰ ποὺ ἔχουν γραφεῖ ἀπὸ παλαιά, «μὲ τὴν ὑπομονή σας ἀποκτῆστε τὶς ψυχές σας»[99]. Βάλε λοιπὸν ἀρχὴ πάλι γιὰ νὰ τηρήσεις καὶ νὰ φυλάξεις αὐτὰ ποὺ σοῦ λέγω· διότι δὲν εἶναι ἀκόμα καιρὸς νὰ τὰ φανερώσεις.

Ἔχε χαρὰ ἐν Κυρίῳ.

27

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ λυπόταν ἐπειδὴ ἄργισε νὰ τοῦ γράψει, καὶ ἀπὸ αὐτὸ νόμιζε ὅτι τὸν λησμόνησε.

Γράψε ἀμέσως στὸν ἀδελφό, πρῶτα χαρὰ καὶ εὐφροσύνη καὶ ἀσπασμὸ ἐν Κυρίῳ καὶ πές του· Μὴ νομίσεις, ἀγαπητέ μου, ὅτι παρέδωσα τὴν ἀνάμνησή σου ἀπὸ τὴν καρδιά μου στὴν λησμονιὰ καὶ γι' αὐτὸ ἀνέβαλα νὰ σοῦ γράψω, ἀλλὰ προσέχοντας τὴ συμπεριφορά σου, μακροθύμησα μέχρι τώρα. Θέλω νὰ μάθεις αὐτό, ὅτι, ὅπως ὁ Θεός μας δὲν ξε-

98. Ἰω. 15,16.

99. Λουκᾶ 21,19.

Θεὸς ἡμῶν τοῦ ἐλεῆσαι τὸν κόσμον, οὐδὲ ἐγὼ τῆς ἀγάπης σου, δεόμενος νύκτα καὶ ἡμέραν τοῦ Θεοῦ ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς σου, ὅπως φθάσῃς εἰς ἃ προέγραψά σοι μέτρα· καὶ τοῦτο μάθε, ὅτι ὅτε ὑπάγεις εἰς διακονίαν τοῦ κοινοβίου, πάντως ὑπάγει μετὰ σοῦ ἡ καρδία μου, συνευδοκοῦντος τοῦ Θεοῦ.

Ἐν μηδενὶ οὖν ὀλιγωρήσῃς, ἀδελφέ μου· ἐλπίζω γὰρ ὅτι φθάνουσί σε πάντα ἃ ἔγραψά σοι· οὐ γὰρ ψεύδεται ὁ Θεός· «ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»· νόησον τί εἶπον καὶ τί ἀπόκειταί σοι· «διὰ πολλῶν γὰρ θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». «Χαῖρε ἐν Κυρίῳ»· πάλιν λέγω χαῖρε.

Μηδεὶς οὖν μάθῃ τὸ μυστήριον· γέγραπται γὰρ καὶ ἐφάνη αὐτοῖς ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα· ἐὰν γὰρ μὴ ἔχῃ τις καρδίαν στερεάν, βαστάσαι οὐ δύναται.

ΚΗ'

Ἐνεθυμήθη ὁρίσαι ἑαυτῷ μὴ ἐξελθεῖν εἰς τὰς νηστείας πούποτε· καὶ ἀπηγόρευσεν αὐτῷ ὁ Γέρων τοῦτο, ἵνα μὴ τῆς κατὰ Θεὸν χρείας ἀπαιτούσης αὐτὸν ἐξελθεῖν θλίβηται ὡς παραβαίνων τὸν ὅρον.

Εἰπὲ τῷ ἀδελφῷ, οὐκ ἤκουσας παρ' ἐμοῦ ὅτι, ὅπου δ' ἂν ἀπέλθῃς καὶ εἴ τι ἂν ποιήσῃς κατὰ Θεόν, ἡ καρδία μου μετὰ σοῦ ὑπάγει; Καὶ νῦν, ἀδελφέ, καθὼς προήκουσας, μηδὲν σεαυτῷ διορίσῃς· ἀλλὰ ἀνάγκης γενομένης, ἐὰν ἐκβαίνῃς, οὐχ εὑρίσκεις θλῖψιν τῷ λογισμῷ. Κατανόησον οὖν

1. Ματθ. 10,22.
1α. Πράξ. 14,22.
2. Φιλ. 3,1.

χνᾶ νὰ ἐλεήσει τὸν κόσμο, ἔτσι οὔτε ἐγὼ δὲν ξεχνῶ τὴν ἀγάπη σου, ἀλλὰ παρακαλῶ τὸ Θεὸ νύχτα καὶ μέρα γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου, γιὰ νὰ φθάσεις στὰ μέτρα ποὺ σοῦ ἔγραψα προηγουμένως. Μάθε κι αὐτό, ὅτι, ὅταν πηγαίνεις γιὰ διακονία τοῦ κοινοβίου, ὁπωσδήποτε πηγαίνει μαζί σου καὶ ἡ καρδιά μου, μὲ τὴν εὐδοκία τοῦ Θεοῦ.

Ἀδελφέ μου, νὰ μὴν ὀλιγωρήσεις σὲ τίποτα· διότι ἐλπίζω ὅτι σοῦ φθάνουν ὅλα ὅσα σοῦ ἔγραψα· ὁ Θεὸς δὲν λέγει ψέματα· «διότι αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[1]. Σκέψου βαθειὰ τί σοῦ εἶπα καὶ τί σοῦ ἐπιφυλάσσεται· «διότι ἐμεῖς πρέπει νὰ εἰσέλθουμε στὴ βασιλεία τῶν οὐρανῶν μὲ πολλὲς θλίψεις»[1α]. «Χαίρε ἐν Κυρίῳ»[2]· πάλι λέγω, χαῖρε.

Κανένας λοιπὸν νὰ μὴ μάθει τὸ μυστικό· διότι ἔχει γραφεῖ «καὶ αὐτὰ τὰ λόγια φάνηκαν σ' αὐτοὺς σὰν ἀνοησία»[3]· διότι, ἐὰν κάποιος δὲν ἔχει στερεὴ καρδιά, δὲν μπορεῖ νὰ βαστάξει.

28

Σκέφθηκε[4] νὰ ὁρίσει στὸν ἑαυτό του νὰ μὴ διακόψει ποτὲ τὶς νηστεῖες, καὶ ὁ Γέροντας τοῦ τὸ ἀπαγόρευσε, γιὰ νὰ μὴ στενοχωριέται, ὅταν ἡ κατὰ Θεὸν ἀνάγκη ἀπαιτεῖ νὰ τὶς διακόψει, ὅτι παραβαίνει τὸν ὅρο.

Πὲς στὸν ἀδελφό, δὲν ἄκουσες ἀπὸ μένα ὅτι, ὅπου κι ἂν πᾶς καὶ ὅ,τι κι' ἂν κάνεις σύμφωνο μὲ τὸ Θεό, ἡ καρδιά μου θὰ εἶναι μαζί σου; Καὶ τώρα, ἀδελφέ, ὅπως ἄκουσες προηγουμένως, νὰ μὴ ὁρίσεις τίποτε γιὰ τὸν ἑαυτό σου, ὥστε, ἐὰν ἐξέρχεσαι ἀπὸ τὸν κανόνα λόγω ἀνάγκης ποὺ θὰ προκύπτει, νὰ μὴ εὑρίσκεις θλίψη στὸ λογισμό. Κατανόησε

---

3. Λουκᾶ 24,11.
4. Ὁ Ἰωάνης δηλαδὴ ἀπὸ τὴ Μηρωσάβη.

τὴν δύναμιν τῶν παρ' ἐμοῦ σοὶ γραφομένων· καὶ οὕτω ποίησον καὶ ἀναπαύῃ.

Εἴη σοι εἰρήνη παρ' ἐμοῦ, μᾶλλον δὲ παρὰ τοῦ Θεοῦ.

ΚΘ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, βεβαιοῦσα τὴν αὐτοῦ πίστιν εἰς τὰ αὐτῷ ἐπηγγελμένα· καὶ ἐκ τῆς τοιαύτης πληροφορίας πρὸς μείζονα αὐτὸν ἄγουσα προθυμίαν.*

Εἰπὲ τῷ ἀδελφῷ· Ἡ ἀνάπαυσις καὶ πᾶν δόμα ἀγαθὸν καὶ πᾶν χάρισμα θεϊκόν, διὰ πίστεως ἔρχεται τῷ ἀνθρώπῳ· μὴ οὖν ἀναίσθητος ᾖς τῆς καθ' ἑκάστην ἡμέραν ἐπελθούσης ἐπὶ σὲ δυνάμεως παρὰ τοῦ Θεοῦ διὰ τῆς ἐμῆς ταπεινώσεως. Καὶ μάθε ὅτι οὐ μικρῶς ἐθαυμαστώθη ἡ ἔλευσίς σου πρὸς ἡμᾶς.

Τρέχε οὖν πρὸς τὰ προκείμενά σοι ἵνα καταλάβῃς, καὶ μιμνήσκου διαπαντὸς ὅθεν ἐρρύσατό σε ὁ Θεός, καὶ δὸς αὐτῷ εὐχαριστίαν εἰς πάντα, δεόμενος ἵνα πληρώσῃ μετὰ σοῦ τὸ ἔλεος αὐτοῦ ἕως τέλους. Ἀμήν.

Λ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸ αὐτὸν ἐρωτήσαντα, εἰ ὀφείλει συμπλεῦσαι τοῖς ἀδελφοῖς διὰ τὸ ἐργόχειρον εἰς Αἴγυπτον· εὐλαβεῖτο γὰρ ὅτι καὶ αὐτὸς καὶ οἱ ἀδελφοὶ ἄπειροι ἦσαν τῆς θαλάσσης καὶ τῶν τόπων.*

Εἰπὲ τῷ ἀδελφῷ· Ὅσον ἔξω εἶ, κοπιάσαι ἔχεις διὰ τὸν Θεόν, μετὰ τῶν ἀδελφῶν. Πρόθου οὖν τὰς τοῦ Ἀποστόλου θλίψεις πρὸ τῶν ὀφθαλμῶν σου· «ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται», ἐν Χριστῷ Ἰησοῦ τῷ

5. Α' Κορ. 9,24.

λοιπὸν τὴν δύναμη ἐκείνων ποὺ σοῦ εἰπώθηκαν ἀπὸ μένα, καὶ πράττε ἔτσι καὶ θ' ἀναπαύεσαι.

Νὰ ἔχεις ἀπὸ μένα εἰρήνη, ἢ καλύτερα ἀπὸ τὸ Θεό.

29

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ βεβαιώνει τὴν πίστη του στὰ παραγγέλματά του, καὶ μὲ αὐτὴ τὴ βεβαιότητα τὸν ὁδηγεῖ σὲ μεγαλύτερη προθυμία

Πὲς στὸν ἀδελφό· Ἡ ἀνάπαυση καὶ κάθε ἀγαθὴ δόση καὶ κάθε θεϊκὸ χάρισμα ἔρχεται στὸν ἄνθρωπο μὲ τὴν πίστη. Νὰ μὴ εἶσαι λοιπὸν ἀναίσθητος ἀπέναντι στὴ δύναμη ποὺ δίνεται σὲ σένα κάθε ἡμέρα ἀπὸ τὸ Θεὸ διὰ τῆς δικῆς μου ταπεινώσεως. Καὶ μάθε ὅτι ὁ ἐρχομός σου σὲ μᾶς δὲν ἦταν μικρὸ θαῦμα.

Τρέχε λοιπὸν πρὸς αὐτὰ ποὺ βρίσκονται μπροστά σου γιὰ νὰ τὰ ἀποκτήσεις[5] καὶ νὰ θυμᾶσαι πάντοτε ἐκεῖνα ἀπὸ τὰ ὁποῖα σὲ ἔσωσε ὁ Θεός. Καὶ εὐχαρίστησέ τον γιὰ ὅλα, παρακαλώντας τον νὰ ἐκπληρώσει τὸ ἔλεός του σένα ὡς τὸ τέλος. Γένοιτο.

30

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ποὺ τὸν ἐρώτησε, ἐὰν πρέπει νὰ πλεύσει μαζὶ μὲ τοὺς ἀδελφοὺς γιὰ τὸ ἐργόχειρο στὴν Αἴγυπτο· διότι φοβόταν ὅτι καὶ αὐτὸς καὶ οἱ ἀδελφοὶ ἦταν ἄπειροι τῆς θάλασσας καὶ τῶν τόπων.

Πὲς στὸν ἀδελφό· Ὅσο εἶσαι ἔξω, μπορεῖς νὰ κοπιάζεις μὲ τοὺς ἀδελφοὺς γιὰ τὸ Θεό. Θέσε λοιπὸν τὶς θλίψεις τοῦ Ἀποστόλου μπροστὰ στὰ μάτια σου· «διότι ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[6], μὲ

6. Ματθ. 10,22.

Κυρίῳ ἡμῶν.

Ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΑ'

Πολλὰ περιελθόντων αὐτῶν ἐν Αἰγύπτῳ πρὶν εὑρεῖν ἐργόχειρον, καὶ πολλὴν διαφόρως ὑπομεινάντων θλῖψιν καὶ διαστροφήν, καὶ ἐντεῦθεν ὀλιγωρίας αὐτῷ συμβάσης, προθεωρήσας ὁ Γέρων ταῦτα τῷ πνεύματι, προετοιμάζει αὐτῷ ἀπόκρισιν ἔχουσαν οὕτω.

Γράψον, τέκνον, τὰ λεγόμενα παρ' ἐμοῦ, μᾶλλον δὲ παρὰ τοῦ Θεοῦ καὶ ἑτοίμασον αὐτὰ τῷ ἀδελφῷ Ἰωάννῃ. Πρῶτον ἀσπασμὸν ἐν Κυρίῳ· μετὰ ταῦτα εἰπὲ αὐτῷ· ὅτι ὀλιγωρεῖς ἐν ταῖς θλίψεσιν ὡς ἄνθρωπος σαρκικός, μὴ ἀκούσας ὅτι πρόκεινταί σοι θλίψεις, ὡς καὶ τὸ Πνεῦμα εἶπε τῷ Παύλῳ, καὶ λοιπὸν παρεκάλει τοὺς ὄντας μετ' αὐτοῦ ἐν τῷ πλοίῳ χαίρειν, οὐκ οἶδας ὅτι πολλαί εἰσιν αἱ θλίψεις τῶν δικαίων, καὶ ἐν αὐταῖς δοκιμάζονται ὡς ἐν πυρὶ χρυσίον; εἰ μὲν δίκαιοί ἐσμεν, δοκιμασθῶμεν ἐν ταῖς θλίψεσιν· εἰ δὲ πάλιν ἁμαρτωλοί, ὡς ἄξιοι αὐτῶν ὑπομείνωμεν· ἡ γὰρ δοκιμὴ ὑπομονὴν ἐργάζεται.

Λάβωμεν κατὰ νοῦν τοὺς ἐξ ἀρχῆς ἁγίους πάντας, καὶ ἴδωμεν, τί ὑπέμειναν· καὶ ἀγαθοποιοῦντες καὶ ἀγαθολαλοῦντες καὶ ἀληθείᾳ ὅλῃ στήκοντες, μισούμενοι καὶ θλιβόμενοι ἦσαν ἀπὸ τῶν ἀνθρώπων ἕως τῆς τελευτῆς αὐτῶν, καὶ ὑπερηύχοντο τῶν ἐχθρῶν καὶ τῶν ἐπηρεαζόντων αὐτούς, κατὰ τὴν τοῦ Σωτῆρος

---

7. Πράξ. 20,23.
8. Πράξ. 27, 21–26.

τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

31

Ἐπειδὴ περιτρυγύρισαν πολὺ στὴν Αἴγυπτο πρὶν βροῦν ἐργόχειρο καὶ ὑπέφεραν πολλὴ θλίψη καὶ κόπωση, τοῦ δημιουργήθηκε ἀπὸ αὐτὸ ὀλιγωρία. Ὁ Γέροντας, γνωρίζοντας αὐτὰ ἀπὸ πρὶν μὲ τὸ Πνεῦμα, τοῦ προετοιμάζει ἀπόκριση ποὺ ἔχει ὡς ἑξῆς.

Γράψε, τέκνο μου, τὰ λεγόμενα ἀπὸ μένα, ἢ καλύτερα ἀπὸ τὸ Θεό, καὶ ἑτοίμασέ τα γιὰ τὸν ἀδελφὸ Ἰωάννη. Πρῶτα ἀσπασμὸ ἐν Κυρίῳ· μετὰ ἀπὸ αὐτὰ πές του· Ὀλιγωρεῖς στὶς θλίψεις σὰν σαρκικὸς ἄνθρωπος, διότι δὲν κατανόησες ὅτι οἱ θλίψεις βρίσκονται μπροστά σου, ὅπως καὶ τὸ Πνεῦμα εἶπε στὸν Παῦλο[7], καὶ γι' αὐτὸ παρακάλεσε αὐτοὺς ποὺ βρίσκονταν μαζί του στὸ πλοῖο νὰ χαίρονται[8]. Δὲν γνώρισες ὅτι οἱ θλίψεις τῶν δικαίων[9] εἶναι πολλὲς καὶ δοκιμάζονται σ' αὐτὲς ὅπως ὁ χρυσὸς στὴ φωτιά; Ἐὰν εἴμαστε δίκαιοι, θὰ δοκιμασθοῦμε στὶς θλίψεις· ἐὰν πάλι εἴμαστε ἁμαρτωλοί, θὰ ὑπομείνουμε αὐτὲς σὰν ἄξιοι γι' αὐτές· διότι ἡ δοκιμασία καλλιεργεῖ τὴν ὑπομονή[10].

Ἂς φέρουμε στὸ νοῦ μας ὅλους τοὺς ἀξίους ἀπὸ τὴν ἀρχὴ καὶ ἂς δοῦμε τί ὑπέμειναν. Ἂν καὶ ἀγαθοποιοῦσαν καὶ ἀγαθολαλοῦσαν καὶ ἔλεγαν τὴν ἀλήθεια, ἐν τούτοις μισοῦνταν καὶ θλίβονταν ἀπὸ τοὺς ἀνθρώπους μέχρι τὸ θάνατό τους καὶ προσεύχονταν γιὰ τοὺς ἐχθροὺς καὶ γιὰ ἐκείνους ποὺ τοὺς ἔβλαπταν, σύμφωνα μὲ τὰ λόγια τοῦ Σωτῆρα. Μήπως πουλήθηκες

9. Ψαλμ. 33,19.
10. Ρωμ. 5,4.

φωνήν. Μὴ οὖν καὶ σὺ κατὰ τὸν σεμνὸν Ἰωσὴφ ἐπράθης; καὶ αἱ χεῖρές σου ἐν τῷ κοφίνῳ ἐδούλευσαν; καὶ εἰς λάκκους δύο καταβέβηκας; ἢ κατὰ τὸν Μωσέα, ἀπὸ παιδὸς καὶ μέχρι γήρως ἐκακουχήθης; Τί ὑπέμεινας, νωθρέ; Ἢ ὡς Δαβὶδ διωκόμενος ἀπὸ Σαοὺλ καὶ τοῦ ἰδίου υἱοῦ ἐπένθει ὑπὲρ αὐτῶν θανόντων; ἢ κατὰ τὸν Ἰωνᾶν ἐρρίφης εἰς τὴν θάλασσαν;

Λήθαργε καὶ ἀγαπητέ, τί ἐκλύεταί σου ὁ λογισμός; Μὴ φοβηθῇς καὶ δειλανθῇς ὡς ἄνανδρος, μήποτε ὑστερηθῇς ἀπὸ τῶν τοῦ Θεοῦ ἐπαγγελιῶν· μὴ πτοηθῇς ὡς ἄπιστος, ἀλλὰ θαρσοποίησον τοὺς ὀλιγοπίστους σου λογισμούς. Ἀγάπησον τὰς θλίψεις ἐν πᾶσι, ἵνα γένῃ υἱὸς δόκιμος τῶν ἁγίων. Μιμνῄσκου τῆς ὑπομονῆς Ἰὼβ καὶ τῶν καθεξῆς καὶ ζήλωσον ἐλθεῖν εἰς τὰ ἴχνη αὐτῶν. Μιμνήσκου ὧν ὑπέμεινε Παῦλος κινδύνων καὶ θλίψεων καὶ δεσμῶν καὶ λιμῶν καὶ ἄλλων κακῶν πλήθους, καὶ εἰπὲ τῇ μικροψυχίᾳ· ἀλλότριός σου εἰμί. Μιμνήσκου γράψαντός σοι, 'ἐὰν κατευοδοθῇ τὸ πρᾶγμα ἔμπροσθέν σου, ἐὰν μή, εὐχαρίστησον τῷ Θεῷ'. Κατανόησον τὰ πράγματα, ὅτι φθαρτὰ καὶ παρερχόμενά εἰσιν· ἡ δὲ κατὰ Θεὸν ὑπομονὴ σώζει τὸν κτησάμενον αὐτήν. Ἰδοὺ πυκτεύεις ἐνεγκεῖν ἐργόχειρον καὶ ἐργάσασθαι.

Ἵνα οὖν δείξω σοι τὸν ἀποστολικὸν λόγον, ὅτι οὔτε τοῦ θέλοντος, οὔτε τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ, ἰδοὺ πέμπει ἡμῖν ὁ Θεὸς ἀνθρώπους ἔχοντας τὴν χρείαν τοῦ κόσμου, οὓς δεξάμενοι μὴ εἴπητε ὅτι ἐλάλησα δι' αὐτοὺς τίποτε, μήποτε λάβωσι κενοδοξίαν. Ἀγαπήσατε αὐτοὺς ὡς ἀδελφοὺς γνησίους,

---

11. Ἐννοεῖ τὸν Ἰωσὴφ τῆς Π. Διαθήκης, Γεν. κεφ. 37.
12. Ψαλμ. 80,6.
13. Γεν. 37,24, 40,15.
14. Ἑβρ. 11,25.

λοιπὸν καὶ σὺ ὅπως ὁ σεμνὸς Ἰωσήφ[11], καὶ τὰ χέρια σου δούλεψαν σὲ κοφίνι[12]; μήπως κατέβηκες σὲ δύο λάκκους[13], ἢ ταλαιπωρήθηκες ἀπὸ παιδὶ ὥς τὰ γηρατειὰ σὰν τὸν Μωϋσῆ[14]; Τί ὑπέμεινες, ὀκνηρέ; Μήπως ὑπέφερες σὰν τὸν Δαβίδ, πού, ἐνῶ διωκόταν ἀπὸ τὸν Σαοὺλ καὶ ἀπὸ τὸν ἴδιο του τὸν υἱό, πενθοῦσε γι' αὐτοὺς ὅταν πέθαναν[15]; ἢ μήπως ρίχτηκες στὴ θάλασσα ὅπως ὁ Ἰωνᾶς[16];

Λήθαργε καὶ ἀγαπητέ, γιατί παραλύει ὁ λογισμός σου; Μὴ φοβηθεῖς καὶ δειλιάσεις σὰν ἄνανδρος, μήπως κάποτε στερηθεῖς τὶς ἐπαγγελίες[17] τοῦ Θεοῦ. Μὴ πτοηθεῖς σὰν ἄπιστος, ἀλλὰ ἐνθάρρυνε τοὺς ὀλιγόπιστους λογισμούς σου. Ἀγάπησε τὶς θλίψεις σὲ ὅλα, γιὰ νὰ γίνεις υἱὸς δόκιμος τῶν ἁγίων. Νὰ θυμᾶσαι τὴν ὑπομονὴ τοῦ Ἰὼβ[18] καὶ τῶν ἄλλων στὴ συνέχεια, καὶ δεῖξε ζῆλο ν' ἀκολουθήσεις τὰ ἴχνη τους. Νὰ θυμᾶσαι ποιούς κινδύνους ὑπέμεινε ὁ Παῦλος καὶ θλίψεις καὶ φυλακίσεις καὶ λιμοὺς καὶ πλῆθος ἄλλων κακῶν[19] καὶ πὲς στὴ μικροψυχία· 'εἶμαι ἐχθρός σου'. Νὰ θυμᾶσαι ἐκεῖνο ποὺ σοῦ ἔγραψα, εἴτε σοῦ συμβοῦν τὰ πράγματα εὐνοϊκά, εἴτε ὄχι, εὐχαρίστησε τὸ Θεό. Σκέψου βαθιὰ ὅτι τὰ πράγματα εἶναι φθαρτὰ καὶ παρερχόμενα, ἐνῶ ἡ κατὰ Θεὸν ὑπομονὴ σώζει ἐκεῖνον ποὺ τὴν ἀπόκτησε. Νά, ἀγωνίζεσαι νὰ ὑποφέρεις τὸ ἐργόχειρο καὶ τὴν ἐργασία.

Γιὰ νὰ σοῦ δείξω λοιπὸν τὸν ἀποστολικὸ λόγο, ὅτι δὲν ἐξαρτᾶται οὔτε ἀπὸ αὐτὸν ποὺ θέλει, οὔτε ἀπὸ αὐτὸν ποὺ τρέχει, ἀλλὰ ἀπὸ τὸν ἐλεήμονα Θεό[20], νά, ὁ Θεὸς μᾶς στέλνει ἀνθρώπους ποὺ ἔχουν τὴν ἀνάγκη τοῦ κόσμου, τοὺς ὁποίους ἀφοῦ τοὺς δεχθεῖτε νὰ μὴ πεῖτε ὅτι εἶπα τίποτα γι' αὐτούς, γιὰ νὰ μὴ λάβουν κενοδοξία. Ἀγαπήσατέ τους σὰν γνήσιους ἀδελφοὺς καὶ κάνετε τὸ λογισμό σας νὰ ἀναπαύσει τὸν λογισμό τους· διό-

15. Β' Βασ. 1,11–27.
16. Ἰω. 1,15.
17. Ἑβρ. 4,1.
18. Ἰακ. 5,11.
19. Β' Κορ. 11,24–27.
20. Ρωμ. 9,10.

καὶ ποιήσατε τὸν λογισμὸν ὑμῶν ἀναπαῦσαι τὸν λογισμῶν αὐτῶν· τοῦ κόσμου γὰρ καταφρονοῦσι, σῶσαι τὰς ψυχὰς αὐτῶν θέλοντες καὶ ὁ Θεὸς δι' ἐμοῦ. Κατὰ πρόγνωσιν γράφω, ἄγει αὐτοὺς ὧδε πρὸς ὑμᾶς, ἵνα μάθητε ὅτι πάνυ κατεφρόνησαν.

Σὺ οὖν, ἀδελφέ, κρατούμενος τῇ ἐμῇ χειρί, περιπάτει εἰς τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν, τὴν ἀπάγουσαν εἰς ζωὴν αἰώνιον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΒ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐρωτήσαντα, εἰ ὀφείλει καθ' ἑαυτὸν τρώγειν, καὶ τὴν τετράδα καὶ παρασκευὴν μὴ ἐξιέναι εἰς τὴν ἁγίαν κοινωνίαν· καὶ εἰ χρὴ αὐτὸν ἀποκόψαι τῆς φροντίδος τῶν ἔργων· καὶ ἐὰν συμβῇ αὐτὸν εἰς τὸ ἡσυχάζειν ἀσθενῆσαι, εἰ δεῖ χρήσασθαι θεραπείᾳ τινὶ καὶ ὥστε δοθῆναι αὐτῷ ἐντολὰς εἰς σωτηρίαν.*

Οὐ θέλω τὴν ἀγάπην σου ἀγνοεῖν περὶ τῆς γινομένης μετὰ σοῦ εὐεργεσίας παρὰ τοῦ φιλανθρώπου Θεοῦ· καὶ γὰρ ἰδοὺ αἱ ὠδῖνες ἔφθασαν· καὶ ἤρξατο ὁ Ἰησοῦς ποιῆσαι μετὰ σοῦ καὶ εἰσενεγκεῖν σε κατὰ τάξιν εἰς τὴν εὐλογημένην αὐτοῦ ἡσυχίαν καὶ εἰς τὴν ἀνεπαίσχυντον ὑπομονήν. Κἂν οὖν ἀτονία ἢ ἄλλη ἀσθένεια παρακολουθήσῃ σοι, ὅλην τὴν ἐλπίδα σου βάλε ἐπὶ τὸν σὸν δεσπότην καὶ ἀναπαύῃ· καὶ γὰρ ἐλπίζω εἰς τὸν Θεόν μου, ὅτι οὐ μακρὰν εἶ τῆς ὁδοῦ τοῦ Θεοῦ.

Περὶ δὲ τοῦ καθ' ἑαυτὸν φαγεῖν ἐν τῷ κελλίῳ σου, συμφέρει σοι καὶ ὠφελεῖ· προφάσεως δὲ γενομένης τοῦ καὶ μετὰ τῶν ἀδελφῶν φαγεῖν, μὴ διστάσῃς μηδὲ δυσχεράνῃς καὶ κατὰ μικρὸν σύστελλε σεαυτόν· τὴν δὲ κοινωνίαν ὅσον εἰσέρχῃ καὶ

τι περιφρονοῦν τὸν κόσμο, θέλοντας νὰ σώσουν τὶς ψυχές τους· καὶ ὁ Θεὸς ἐνεργεῖ δι' ἐμοῦ. Γράφω σύμφωνα μὲ πρόγνωση, τοὺς φέρνει ἐκεῖ σὲ σᾶς, γιὰ νὰ μάθετε ὅτι πολὺ περιφρόνησαν τὰ κοσμικά.

Ἐσὺ λοιπὸν ἀδελφέ, πιασμένος ἀπὸ τὸ χέρι μου, περπάτα στὸ στενὸ καὶ θλιμμένο δρόμο ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή[21], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

32

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ τὸν ἐρώτησε, ἐὰν πρέπει νὰ τρώγει μόνος του, καὶ τὴν Τετάρτη καὶ Παρασκευὴ νὰ μὴ πηγαίνει γιὰ τὴν ἁγία Κοινωνία. Ἐπίσης ἐὰν πρέπει νὰ σταματήσει τὴ φροντίδα τῶν ἔργων, καὶ ἐάν, ἐνῶ ἡσυχάζει, συμβεῖ νὰ ἀσθενήσει, ἂν πρέπει νὰ χρησιμοποιήσει κάποια θεραπεία, ὥστε νὰ τοῦ δοθοῦν ἐντολὲς γιὰ σωτηρία.

Δὲν θέλω νὰ ἀγνοῶ τὴν ἀγάπη σου γιὰ τὴν εὐεργεσία ποὺ ἔγινε μὲ σένα ἀπὸ τὸν φιλάνθρωπο Θεό. Πράγματι νά, ἔφθασαν οἱ ὠδίνες· καὶ ὁ Ἰησοῦς ἄρχισε νὰ ἀσχολεῖται μὲ σένα καὶ νὰ σὲ ὁδηγεῖ κατὰ σειρὰ στὴν εὐλογημένη του ἡσυχία καὶ στὴν ὑπομονὴ ποὺ δὲν ἐντροπιάζει. Ἂν λοιπὸν ἡ ἀτονία ἢ ἄλλη ἀσθένεια σὲ καταλάβει, θέσε ὅλη τὴν ἐλπίδα σου στὸν Δεσπότη σου καὶ θὰ ἀναπαυθεῖς· διότι ἐλπίζω στὸ Θεό μου, ὅτι δὲν εἶσαι μακριὰ ἀπὸ τὸν δρόμο τοῦ Θεοῦ.

Ὅσο γιὰ τὸ νὰ τρώγεις μόνος σου στὸ κελλί σου, σὲ συμφέρει καὶ σὲ ὠφελεῖ· ὅταν ὅμως ὑπάρξει ἀφορμὴ νὰ φᾶς μαζὶ μὲ τοὺς ἀδελφούς, νὰ μὴ διστάσεις, οὔτε νὰ δυσανασχετίσεις, καὶ σιγὰ σιγὰ περιόρισε τὸν ἑαυτό σου. Τὴν κοινωνία ὅμως ὅσον

21. Ματθ. 7,14.

ἐξέρχῃ, μὴ κωλύσῃς· σκάνδαλον γὰρ ἔχει ἄλλοις τὸ πρᾶγμα. Καὶ πρόσχες πῶς ποιεῖς σου τὸ κάθισμα κατὰ ταπείνωσιν καὶ φόβον Θεοῦ καὶ ἀγάπην πρὸς πάντας ἀνυποκρίτως καὶ οἰκοδομεῖς τὴν οἰκίαν σου ἐπὶ τὴν στερεὰν καὶ ἀσάλευτον πέτραν· φησί γάρ, «ἡ δὲ πέτρα ἦν ὁ Χριστός».

Περὶ δὲ ἄλλων ἐντολῶν τινων οὐ χρεία ἄρτι· ἀρκοῦν ἐγράφη σοι ἐξ ἐμοῦ· ἔχουσι γὰρ ἱκανότητα ἀγαγεῖν ἀπὸ ἀρχαρίου ἄνθρωπον εἰς τέλειον· μελέτησον αὐτὰ καὶ μιμνήσκου καὶ μὴ ἐπιλάθῃ· ὅλην γὰρ ἔχουσι τὴν βιβλιοθήκην.

Ἔρρωσο ἐν Κυρίῳ διαπαντὸς ταπεινοφρονῶν, ἐν λόγοις καὶ ἔργοις καὶ κινήμασι.

ΛΓ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

ὅτι ὁ κατὰ σάρκα αὐτοῦ ἀδελφὸς διασκεπτόμενος εἰς τὸν μονήρη βίον ἀναχωρῆσαι, ἠρώτησε δι' αὐτοῦ τὸν Γέροντα περὶ τούτου.

Εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· «οὐδεὶς ἔρχεται πρός με, εἰ μὴ ὁ Πατὴρ ὁ οὐράνιος ἑλκύσῃ αὐτόν»· «κἀγὼ ἐγείρω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ» «καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν»· «βλέπετε ὅτι αἱ χῶραι λευκαί εἰσι πρὸς θερισμόν, καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα ὁ θερίζων χαίρῃ καὶ ὁ σπείρων· ἐν τούτῳ γὰρ ὁ λόγος ὁ ἀληθινός ἐστιν, ὅτι ἄλλος ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων».

Ἀδελφέ, οὐδεὶς θέλων εἰσελθεῖν εἰς πόλιν κοιμᾶται· καὶ

---

22. Ματθ. 7,24.
23. Α' Κορ. 10,4.

καιρὸ εἰσέρχεσαι καὶ ἐξέρχεσαι, μὴ τὴν ἐμποδίσεις· διότι διαφορετικὰ τὸ πρᾶγμα γίνεται σκάνδαλο γιὰ τοὺς ἄλλους. Καὶ πρόσεχε πῶς θὰ καθίσεις, μὲ ταπείνωση καὶ φόβο Θεοῦ καὶ ἀγάπη πρὸς ὅλους, χωρὶς ὑποκρισία, καὶ ἔτσι θὰ κτίσεις τὸ σπίτι σου στὴ στερεὴ καὶ ἀσάλευτη πέτρα[22]· διότι λέγει, «ἡ πέτρα ἦταν ὁ Χριστός»[23].

Γιὰ ἄλλες ἐντολὲς δὲν εἶναι ἀκόμα ἀνάγκη· ἀρκετὰ σοῦ ἔγραψα· διότι ἔχουν τὴν ἱκανότητα νὰ σὲ κάνουν ἀπὸ ἀρχάριο, τέλειο ἄνθρωπο. Μελέτησε αὐτὰ καὶ νὰ τὰ θυμᾶσαι καὶ νὰ μὴ τὰ ξεχνᾶς· διότι περιέχουν ὅλη τὴν βιβλιοθήκη.

Ὑγίαινε πάντοτε ἐν Κυρίῳ, δείχνοντας ταπεινοφροσύνη μὲ λόγια καὶ ἔργα καὶ κινήσεις.

33

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

διότι ὁ κατὰ σάρκα ἀδελφός του, σκεπτόμενος νὰ ἀναχωρήσει στὴ μοναχικὴ ζωή, ἐρώτησε δι᾽ αὐτοῦ τὸν Γέροντα γι᾽ αὐτό.

Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς εἶπε· «κανένας δὲν ἔρχεται πρὸς ἐμένα, ἐὰν ὁ οὐράνιος Πατέρας μου δὲν τὸν προσελκύσει· καὶ ἐγὼ θὰ τὸν ἀναστήσω κατὰ τὴν ἔσχατη μέρα»[24] «καὶ θὰ τοῦ φανερώσω τὸν ἑαυτό μου»[25]· «βλέπετε ὅτι τὰ χωράφια εἶναι ἕτοιμα γιὰ θερισμό, καὶ ἐκεῖνος ποὺ θερίζει παίρνει μισθὸ καὶ συνάγει καρπὸ γιὰ τὴν αἰώνια ζωή, γιὰ νὰ χαίρεται ὁ θεριστὴς καὶ ὁ σπορέας· διότι σ᾽ αὐτὸ συνίσταται ὁ ἀληθινὸς λόγος, ὅτι ἄλλος εἶναι ὁ σπορέας καὶ ἄλλος ὁ θεριστής»[26].

Ἀδελφέ, κανένας ποὺ θέλει νὰ μπεῖ στὴν πόλη δὲν κοιμᾶ-

---

24. Ἰω. 6,39.
25. Ἰω. 14,21.
26. Ἰω. 4,35-37.

οὐδεὶς θέλων ἐργάσασθαι, βλέπων τὸν ἥλιον ραθυμεῖ· καὶ οὐδεὶς θέλων φιλοκαλῆσαι τὸν ἀγρὸν αὐτοῦ ἀμελεῖ· ὁ γὰρ θέλων εἰς πόλιν εἰσελθεῖν ὀξυποδήσει πρὸ τοῦ ὀψίσαι, καὶ ὁ βλέπων τὸν ἥλιον ἐξελεύσεται εἰς ἐργασίαν μετὰ γοργότητος, μήποτε ἐμποδισθῇ· καὶ ὁ θέλων τὸν ἀγρὸν αὐτοῦ φιλοκαλῆσαι, σπουδάσει πρὸ τοῦ διαφθαρῆναι ἀπὸ ἐρυσίβης. «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω».

ΛΔ'

Πάλιν ἐκ δευτέρου ἐλθόντος τοῦ ἀδελφοῦ πρὸς αὐτόν, ἐθλίβετο διὰ τὴν αὐτοῦ σωτηρίαν· καὶ ὑπεμίμνησκεν αὐτὸν τῆς προτέρας αὐτοῦ ὑποσχέσεως· αὐτὸς δὲ ᾔτησε σημεῖον αὐτῷ δοθῆναι περὶ τούτου παρὰ τοῦ Γέροντος καὶ ἐδήλωσεν ὁ Γέρων ταῦτα.

Περὶ δὲ τοῦ ἀδελφοῦ σου οὗ εἶπας, ἡ ἀπιστία πολεμεῖ αὐτῷ, καὶ αὕτη ἐστὶν ἡ φαρισαϊκὴ αἵρεσις, πρὸς οὓς εἶπεν ὁ Κύριος ὅτι, «ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ». Οὐκ ἔχω εἰπεῖν αὐτῷ, ἀλλὰ καθὼς λέγει ὁ Ἀπόστολος, «τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά»· καὶ τὸ «νῦν, Ἰσραήλ»· καὶ τὸ «οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου»· καὶ τὸ «σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ἡμῶν». «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω».

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΛΕ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

---

27. Ματθ. 11,15.
28. Ματθ. 12,39.
29. Β' Κορ. 5,17.

ται καὶ κανένας ποὺ θέλει νὰ καλλιεργήσει τὸν ἀγρό του, δὲν ἀμελεῖ· διότι ἐκεῖνος ποὺ θέλει νὰ μπεῖ σὲ πόλη, θὰ τρέξει πρὶν βραδυάσει, καὶ ὅποιος βλέπει τὸν ἥλιο νὰ βγαίνει τρέχει γρήγορα σὲ ἐργασία, μὴ τυχὸν ἐμποδισθεῖ· καὶ ὅποιος θέλει νὰ καλλιεργήσει τὸν ἀγρό του θὰ φροντίσει πρὶν νὰ καταστραφεῖ ἀπὸ τὴν ἐρυσίβη. «Αὐτὸς ποὺ ἔχει αὐτιὰ νὰ ἀκούει, ἂς ἀκούει»[27].

34

Ἐπειδὴ ὁ ἀδελφός του, ποὺ γιὰ δεύτερη φορὰ ἦλθε πάλι πρὸς αὐτόν, στενοχωριόταν γιὰ τὴ σωτηρία του, τοῦ ὑπενθύμισε τὴν προηγούμενή του ὑπόσχεση· αὐτὸς τότε τοῦ ζήτησε νὰ τοῦ δοθεῖ ἀπόδειξη γι' αὐτὸ ἀπὸ τὸν Γέροντα, καὶ ὁ Γέροντας εἶπε αὐτά.

Γιὰ τὸν ἀδελφό σου ποὺ εἶπες, τὸν πολεμεῖ ἡ ἀπιστία καὶ αὐτὴ εἶναι ἡ φαρισαϊκὴ αἵρεση, πρὸς τοὺς ὁποίους εἶπε ὁ Κύριος ὅτι «αὐτὴ ἡ γενιὰ ζητεῖ θαῦμα ποὺ νὰ μαρτυρεῖ τὴ θεότητά μου, ἀλλὰ τέτοιο θαῦμα δὲν θὰ τῆς δοθεῖ»[28]. Δὲν ἔχω νὰ πῶ τίποτα γι' αὐτόν, ἀλλά, ὅπως λέγει ὁ Ἀπόστολος, «τὰ παλαιὰ πέρασαν, νά, τὰ πάντα ἔχουν γίνει καινούρια»[29]· καὶ τὸ «τώρα, Ἰσραήλ»[30], καὶ τὸ «νὰ μὴ πειράξεις τὸν Κύριο, τὸ Θεό σου»[31], καὶ τὸ «εἴθε ν' ἀκούσετε σήμερα τὴ φωνή του νὰ μὴ σκληρύνετε τὶς καρδιές σας»[32]. «Αὐτὸς ποὺ ἔχει αὐτιὰ νὰ ἀκούει, ἂς ἀκούει»[33].

Προσευχήσου γιὰ μένα.

35

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

30. Δευτ. 10,12.
31. Δευτ. 6,16 καὶ Ματθ. 4,7.
32. Ψαλμ. 94,8.
33. Ματθ. 11,15.

ἐρωτήσαντα περὶ ἀδελφῶν ἀσθενούντων τῷ σώματι, καὶ περὶ ἄλλων ἀσθενούντων τῷ λογισμῷ, εἰ ὀφείλει αὐτοὺς παρ' ἑαυτῷ προσλαβέσθαι· καὶ εἰ δεῖ εἰπεῖν τῷ ἀββᾷ κουφίσαι μικρὸν τοὺς ἀρχαρίους ἐκ τῆς ἀγρυπνίας· καὶ περὶ τῆς χρονίας αὐτοῦ σιωπῆς.

Ἀδελφέ, ἡ ἀπόκρισις τῶν τριῶν λογισμῶν μία ἐστί· μὴ ἀναγκάσῃς τὴν προαίρεσιν, ἀλλ' ἐπ' ἐλπίδι σπεῖρον· καὶ γὰρ ὁ Κύριος ἡμῶν οὐκ ἠνάγκασέ τινα, ἀλλ' εὐηγγελίσατο· καὶ εἴ τις ἤθελεν ἤκουσεν. Οἶδα, ὅτι οἶδας, ὅτι οὐκ ἀμελῶ οὐδὲ καταφρονῶ τῆς σῆς ἀγάπης, ἀλλὰ ἡ ἀνοχὴ πρὸς τὸ συμφέρον γίνεται· καὶ γὰρ ὅταν εὐχώμεθα καὶ μακροθυμεῖ ὁ Θεὸς τοῦ ἀκοῦσαι, τὸ συμφέρον ποιεῖ, ἵνα μάθωμεν τὴν μακροθυμίαν καὶ μὴ ἐκκακῶμεν, λέγοντες, 'ὅτι ηὐξάμεθα καὶ οὐκ εἰσηκούσθημεν'· ὁ Θεὸς γὰρ οἶδε τί συμφέρει τῷ ἀνθρώπῳ.

Χαίροις ἐν Κυρίῳ, ἀδελφέ μου, καὶ ἀμερίμνησον ἀπὸ παντός, καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ἀγαπητέ μου ὁμόψυχε.

ΛΣ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν*

ἐπιτρέπουσα αὐτῷ ἄρξασθαι τῆς ἡσυχίας ἐν πάσῃ ἀμεριμνίᾳ· καὶ πρὸς τὸν ἐπελθόντα αὐτῷ λογισμόν, ὅτι ἐσχάτη ὥρα ἐστί· καὶ ὅτι συντυχών τινι τῶν πατέρων ἐπὶ πολλὴν ὥραν, ἐλογίζετο, εἰ ἄρα καλῶς ἐποίησεν ἢ οὔ.

Ἀδελφέ, ἄκουσον παρ' ἐμοῦ τοῦ ἀγαπῶντός σε ἐν Χριστῷ Ἰησοῦ. Περὶ μὲν τοῦ κελλίου, εἶπεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, «ἔρχεται ὥρα, καὶ νῦν ἔστιν, ὅταν ἀκούσωσιν οἱ νεκροὶ τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ οἱ

ποὺ τὸν ἐρώτησε γιὰ τοὺς ἀδελφοὺς ποὺ ἀσθενοῦν ὡς πρὸς τὸ σῶμα καὶ γιὰ ἄλλους ποὺ ἀσθενοῦν ὡς πρὸς τὸν λογισμό, ἐὰν ὀφείλει νὰ τοὺς πάρει κοντά του· καὶ ἐὰν πρέπει στὸν Ἀββᾶ νὰ ἀνακουφίσει λίγο τοὺς ἀρχάριους ἀπὸ τὴν ἀγρυπνία· καὶ γιὰ τὴν χρόνια σιωπή του.

Ἀδελφέ, ἡ ἀπάντηση τῶν τριῶν λογισμῶν εἶναι μία· μὴ ἀναγκάσεις τὴν προαίρεση, ἀλλὰ σπεῖρε μὲ ἐλπίδα[34]· διότι καὶ ὁ Κύριος δὲν ἐξανάγκασε κανένα, ἀλλὰ εὐαγγελίσθηκε· καὶ ἐὰν κάποιος ἤθελε, ἄκουσε. Γνωρίζω ὅτι ξέρεις ὅτι δὲν ἀμελῶ, οὔτε περιφρονῶ τὴν ἀγάπη σου, ἀλλὰ ἡ ἀνοχὴ γίνεται γιὰ τὸ συμφέρον σου· διότι καὶ ὅταν προσευχόμαστε καὶ ὁ Θεὸς μακροθυμεῖ νὰ ἀκούσει, τὸ κάνει γιὰ τὸ συμφέρον μας, γιὰ νὰ γνωρίσουμε τὴ μακροθυμία καὶ νὰ μὴ ὀλιγοψυχοῦμε, λέγοντας, 'προσευχηθήκαμε καὶ δὲν εἰσακουσθήκαμε'· διότι ὁ Θεὸς γνωρίζει τί συμφέρει στὸν ἄνθρωπο.

Νὰ χαίρεσαι ἐν Κυρίῳ, ἀδελφέ μου, καὶ δεῖξε ἀμεριμνησία γιὰ κάθε πρᾶγμα καὶ προσευχήσου γιὰ μένα, ἀγαπητέ μου ὁμόψυχε.

36

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ τοῦ ἐπιτρέπει νὰ ἀρχίσει τὴν ἡσυχία μὲ κάθε ἀμεριμνησία· ἐπίσης πρὸς τὸν λογισμὸ ποὺ τοῦ ἐπῆλθε, ὅτι εἶναι ἔσχατη ὥρα· καὶ ὅτι μετὰ ἀπὸ συνάντηση καὶ συνομιλία μὲ κάποιον ἀπὸ τοὺς Πατέρες γιὰ πολλὴ ὥρα, σκεπτόταν ἐὰν ἔκαμε καλὰ ἢ ὄχι

Ἀδελφέ, ἄκουσε ἀπὸ μένα ποὺ σ' ἀγαπῶ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ: Ὅσο γιὰ τὸ κελλί, ὁ Κύριός μας Ἰησοῦς Χριστὸς εἶπε, «ἔρχεται ἡ ὥρα καὶ ἡ ὥρα αὐτὴ εἶναι τώρα, ποὺ οἱ νεκροὶ θὰ ἀκούσουν τὴ φωνὴ τοῦ Υἱοῦ τοῦ

34. Α' Κορ 9,10.

ἀκούσαντες ζήσονται· ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ»· κἀγώ σοι λέγω ὁ καιρὸς τοῦ εἰσελθεῖν σε σὺν Θεῷ πάρεστι. Κατάστησόν σου τὸ νέον κελλίον καὶ εἴσελθε, ἔχων τὸν Θεὸν ὁδηγόν· καὶ ὅτε καθέζῃ μὴ μεριμνήσῃς τίποτε· καὶ γὰρ ἡ χρεία τῶν πραγμάτων καὶ ἡ δοκιμασία καλεῖ ἑαυτόν.

Περὶ δὲ τοῦ σπαρέντος λογισμοῦ, ἀργός ἐστι, παρεισφέρων κενοδοξίαν· τίς γὰρ οὐκ ἔγνω ὅτι ἐν ἐσχάτῃ ὥρᾳ ἐσμέν;

Περὶ δὲ τῆς λαλιᾶς, ὅταν βλέπῃς σεαυτὸν σχεδὸν θεολογοῦντα, μάθε ὅτι ἡ σιωπὴ θαυμαστοτέρα καὶ ἐνδοξοτέρα ἐστὶν αὐτῆς· τίποτε οὖν περισσὸν οὐ χρῄζεις ἵνα γράψω· ἀπὸ γὰρ ἄλφα ἕως ὠμέγα σοι ἔγραψα, καθὼς ἐπίσταται ἡ σὴ ἀγάπη.

Παρατίθεμαί σε οὖν τῷ Θεῷ· αὐτοῦ γάρ ἐστιν ἡ βοήθεια καὶ τὸ ἔλεος. Ἀμήν.

ΛΖ'

Κοσμικός τις φιλόχριστος ἔπεμψεν ἐρωτῶν τὸν Ἀββᾶν Ἰωάννην περὶ πράγματος, καὶ ἔδωκεν αὐτῷ ἀπόκρισιν· καὶ μεταμεληθεὶς ἐδήλωσε τῷ αὐτῷ μεγάλῳ Γέροντι, λέγων· 'συγχώρησόν μοι, ὅτι μεθύω καὶ οὐκ οἶδα τί ποιῶ'.

Πολλάκις λέγω σοι, «ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς», καὶ μᾶλλον οὐκ ἀηδιάζῃ τῆς αὐτῶν ἀκμὴν δυσωδίας; Βλέπε τί λέγεις· οὐ γὰρ οἶδας τί λέγεις. Ὁ γὰρ μεθύων μυκτηρίζεται ὑπὸ τῶν ἀνθρώπων, δέρεται, καταφρονεῖται· οὐ ψηφίζει ἑαυτόν, οὐ παρέχει γνώμας, οὐ διδάσκει ἄλλους, οὐ συμβουλεύει περί τινων· οὐ διακρίνει ὅτι τοῦτο

35. Ἰω. 5, 25–26.

Θεοῦ καὶ ἐκεῖνοι ποὺ θὰ ἀκούσουν θὰ ζήσουν· διότι, ὅπως ἀκριβῶς ὁ Πατέρας ἔχει μέσα του ζωή, ἔτσι ἔδωσε καὶ στὸν Υἱό του νὰ ἔχει ζωή μέσα του»[35]. Καὶ ἐγὼ σοῦ λέγω ὅτι ἔφθασε ὁ καιρὸς νὰ μπεῖς μὲ τὴ βοήθεια τοῦ Θεοῦ. Στῆσε τὸ καινούργιο σου κελλὶ καὶ εἴσελθε, ἔχοντας ὁδηγὸ τὸ Θεό. Καὶ ὅταν καθίσεις νὰ μὴ μεριμνήσεις γιὰ τίποτε, διότι σὲ καλεῖ καὶ ἡ ἀνάγκη τῶν πραγμάτων καὶ ἡ δοκιμασία.

Γιὰ τὸν λογισμὸ πάλι ποὺ σπάρθηκε μέσα σου εἶναι ἀργός, καὶ δημιουργεῖ κενοδοξία· διότι ποιός δὲν γνωρίζει ὅτι βρισκόμαστε στὴν ἔσχατη ὥρα;

Ὅσο γιὰ τὴν ὁμιλία, ὅταν βλέπεις τὸν ἑαυτό σου σχεδὸν νὰ θεολογεῖ, μάθε ὅτι ἡ σιωπὴ εἶναι περισσότερο θαυμαστὴ καὶ ἔνδοξη ἀπὸ αὐτήν. Δὲν σοῦ χρειάζεται λοιπὸν νὰ σοῦ γράψω τίποτε περισσότερο· διότι, ὅπως τὸ γνωρίζει ἡ ἀγάπη σου, σοῦ ἔγραψα ἀπὸ τὸ ἄλφα μέχρι τὸ ὠμέγα.

Σὲ παραδίνω λοιπὸν στὸν Θεό· διότι ἡ βοήθεια καὶ τὸ ἔλεος εἶναι δικό του. Γένοιτο.

37

Κάποιος κοσμικὸς φιλόχριστος ἔστειλε νὰ ἐρωτήσει γιὰ κάτι τὸν Ἀββᾶ Ἰωάννη, καὶ τοῦ ἔδωσε ἀπάντηση· μετανοιώνοντας ὅμως δήλωσε στὸν ἴδιο μεγάλο Γέροντα, λέγοντας· συγχώρεσέ με, διότι μεθῶ καὶ δὲν ξέρω τί κάνω.

Πολλὲς φορὲς σοῦ εἶπα, «ἄφησε τοὺς νεκροὺς νὰ θάψουν τοὺς νεκρούς τους»[36], καὶ δὲν ἀηδιάζεις ἀκόμη ἀπὸ τὴν πολλὴ δυσωδία τους; Πρόσεχε τί λέγεις· διότι δὲν ξέρεις τί λέγεις. Πράγματι ἐκεῖνος ποὺ μεθᾶ χλευάζεται[37] ἀπὸ τοὺς ἀνθρώπους, δέρνεται, περιφρονεῖται· δὲν λογαριάζει τὸν ἑαυτό του, δὲν δίνει γνῶμες, δὲν διδάσκει ἄλλους, δὲν συμ-

36. Ματθ. 8,22.
37. 25,6.

καλὸν ἢ τοῦτο κακόν. Εἰ ἄλλα τῷ στόματι λέγεις καὶ ἄλλα δεικνύεις ἐν τοῖς ἔργοις, ἐν ἀγνωσίᾳ λαλεῖς. Μὴ ὑπνώσῃς, μήποτε ἐξαίφνης ἔλθῃ εἰς τὰ ὦτα σου, «ἰδοὺ ὁ νυμφίος, ἐξέλθετε εἰς ἀπάντησιν αὐτοῦ»· καὶ ποῦ λέγεις τότε ἀσχολοῦμαι; Ἐποίησέ σε ἀμέριμνον, καὶ οὐ θέλεις; ἦρέ σου τὴν φροντίδα, καὶ σεαυτὸν περιπλέκεις; ἀνέπαυσέ σε, καὶ θέλεις μοχθῆσαι;

Οὐ μένει σε χρόνος τοῦ πενθῆσαι καὶ κλαῦσαί σου τὰς ἁμαρτίας. Μιμνήσκου ὅτι εἶπέ σοι περὶ τῆς θύρας, ὅτι κλείεται· γόργευσαι, ἵνα μὴ ἔξω μείνῃς μετὰ τῶν μωρῶν παρθένων· μετάβηθι τῷ λογισμῷ ἀπὸ τοῦ ματαίου κόσμου τούτου εἰς ἄλλον αἰῶνα. Ἄφες τὰ γήϊνα καὶ ζήτησον τὰ οὐράνια· ἐγκατάλειψον τὰ φθαρτά, καὶ εὑρίσκεις τὰ ἄφθαρτα· φεῦγε τῇ διανοίᾳ ἀπὸ τῶν προσκαίρων, καὶ ἀπαντᾷς εἰς τὰ αἰώνια· ἀπόθανε τελείως, ἵνα ζήσῃς τελείως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΗ'

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐπιθυμοῦντα συχνῶς δέχεσθαι παρ' αὐτοῦ ἀπόκρισιν εἰς βοήθειαν καὶ σωτηρίαν ψυχῆς, καὶ ζητοῦντα μαθεῖν, εἰ δεῖ συντυγχάνειν τινὶ τῶν ἀδελφῶν, ἢ λογισμὸν παρ' αὐτῶν ἐρωτᾶσθαι.*

Επειδὴ οἶδα τίνι παρεθέμην σε, καὶ οἵαν τροφὴν παρέθηκά σοι, ἐὰν συνιῇς οὐ πυκνάζω τοῦ γράφειν σοι· ᾧ γὰρ παρεθέμην σε, καὶ πρὸ τοῦ αἰτῆσαι αὐτὸν οἶδεν ὧν χρείαν ἔχεις. Ὧν οὖν ἤκουσας ἀμερίμνει· τὸ γὰρ ἀμεριμνῆσαι ἀπὸ παντὸς πράγματος, ποιεῖ σε προσεγγίσαι τῇ πόλει· καὶ τὸ

βουλεύει γιὰ κάτι· δὲν διακρίνει ὅτι αὐτὸ εἶναι καλὸ ἢ αὐτὸ κακό. Ἐὰν ἄλλα λέγεις μὲ τὸ στόμα καὶ ἄλλα δείχνεις μὲ τὰ ἔργα μιλᾶς μὲ ἀγνωσία. Μὴ παραδοθεῖς στὸν ὕπνο, μήπως ἔλθει κάποτε ξαφνικὰ στὰ αὐτιά σου τὸ ἄκουσμα, «νὰ ὁ νυμφίος, βγεῖτε νὰ τὸν συναντήσετε»[38] καὶ λέγεις τότε, ποῦ νὰ ἡσυχάσω. Σὲ ἔκαμε ἀμέριμνο, καὶ δὲν θέλεις; σοῦ ἀφαίρεσε τὴ φροντίδα, καὶ περιπλέκεις τὸν ἑαυτό σου σ' αὐτήν; Σὲ ἀνάπαυσε, καὶ θέλεις νὰ κουράζεσαι;

Δὲν σοῦ μένει χρόνος νὰ πενθήσεις καὶ νὰ κλάψεις γιὰ τὶς ἁμαρτίες σου. Θυμήσου ὅτι σοῦ εἶπε γιὰ τὴ θύρα ὅτι κλείνει· βιάσου, γιὰ νὰ μὴ μείνεις ἔξω μαζὶ μὲ τὶς μωρὲς παρθένες· πήγαινε μὲ τὸν λογισμὸ ἀπὸ αὐτὸν τὸν μάταιο κόσμο σὲ ἄλλον αἰώνα. Ἄφησε τὰ γήϊνα καὶ ζήτησε τὰ οὐράνια· ἐγκατάλειψε τὰ φθαρτά, καὶ θὰ βρεῖς τὰ ἄφθαρτα· φεῦγε μὲ τὴ διάνοια ἀπὸ τὰ πρόσκαιρα, καὶ θὰ φθάσεις στὰ αἰώνια· πέθανε τέλεια, γιὰ νὰ ζήσεις τέλεια στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

38

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

που ἐπιθυμοῦσε συχνὰ νὰ δέχεται τὴν ἀπάντησή του γιὰ βοήθεια καὶ σωτηρία τῆς ψυχῆς καὶ ζητοῦσε νὰ μάθει, ἐὰν πρέπει νὰ συναντᾶ κάποιον ἀπὸ τοὺς ἀδελφοὺς ἢ νὰ τοῦ ζητοῦν αὐτοὶ λογισμό.

Ἐπειδὴ γνωρίζω σὲ ποιόν σὲ παρέδωσα καὶ ποιά τροφὴ σοῦ πρόσφερα, ἐὰν τὸ ἔχεις καταλάβει, γι' αὐτὸ δὲν σοῦ γράφω συχνά· διότι αὐτὸς στὸν ὁποῖο σὲ παρέδωσα γνωρίζει αὐτὰ ποὺ χρειάζεσαι πρὶν τοῦ τὰ ζητήσεις[39]. Γι' αὐτὰ ποὺ ἄκουσες δεῖχνε ἀμεριμνησία· διότι τὸ νὰ ἀμεριμνεῖς

38. Ματθ. 25,10.
39. Ματθ. 6,8.

μὴ ψηφισθῆναι ἐν ἀνθρώποις, ποιεῖ σε οἰκῆσαι τὴν πόλιν· καὶ τὸ ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου, ποιεῖ σε κληρονομῆσαι τὴν πόλιν καὶ τοὺς θησαυρούς. Καὶ ἐπειδὴ πολλάκις ἀεὶ θέλεις τὸν αὐτὸν λόγον ἀκούειν περὶ συντυχίας, ἢ περὶ λογισμοῦ ἀδελφῶν, χρείας γενομένης, ἐγώ σοι λέγω τί δεῖ ποιῆσαι. Σὺ οὖν μηδὲν φροντίσῃς, εἰ μὴ τὸ ἀνῦσαι τὴν ὁδοιπορίαν.

Ἀσπάζομαί σου τὴν ἀγάπην ἀδιαλείπτως· καὶ ἀπὸ τοῦ σβεσθῆναι κατὰ μικρὸν ἀπὸ σοῦ τὴν τῆς δεινοτάτης ὀργῆς κίνησιν ἔστι σοι μαθεῖν. Εἰρήνη σοι ἔσται, ἀδελφέ μου καὶ ἀγαπητὲ Ἰωάννη.

ΛΘ΄

Ἀπόκρισις τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, βουληθέντα κόψαι τὴν συντυχίαν καὶ τοῦ ἰδίου ὑπηρέτου, διὰ τὸ ῥηθὲν αὐτῷ, ὅτι 'τὸ ἀμεριμνῆσαι ποιεῖ σε προσεγγίσαι τῇ πόλει'· καὶ πρὸς τὸν αὐτὸν λογισμὸν ἀναζητοῦντα τὰς αἰτίας τῶν διαφόρως ἐπανισταμένων αὐτῷ πειρασμῶν.

Εἰπὲ τῷ ἀδελφῷ· ἔκδεξαι ἄλλο μικρόν· καὶ γὰρ οὐκ ἔστι καιρός· καὶ γὰρ ἐγὼ φροντίζω σου περισσότερόν σου· μᾶλλον δὲ ὁ Θεός. Ἀδελφὲ Ἰωάννη, μηδὲν φοβηθῇς ἀπὸ τῶν ἐπαναστάντων πειρασμῶν πρὸς δοκιμασίαν σήν· οὐ γὰρ παραδίδωσί σε ὁ Θεός. Ὅταν οὖν ἔλθῃ σοι τίποτε τοιοῦτον, μὴ κοπιάσῃς ἐρευνᾶν πράγματα, ἀλλὰ κράζε τὸ ὄνομα Ἰησοῦ, λέγων, «Ἰησοῦ, βοήθει μοι», καὶ ἐπακούει, ἐγγὺς γάρ ἐστι

γιὰ κάθε πρᾶγμα σὲ κάνει νὰ πλησιάσεις στὴν πόλη· καὶ τὸ νὰ μὴ ὑπολογίζεσαι ἀνάμεσα ἀπὸ τοὺς ἀνθρώπους, σὲ κάνει νὰ κατοικήσεις στὴν πόλη[40]· καὶ τὸ νὰ πεθάνεις ἀπὸ κάθε ἄνθρωπο, σὲ κάνει νὰ κληρονομήσεις τὴν πόλη καὶ τοὺς θησαυρούς. Καὶ ἐπειδὴ πολλὲς φορὲς θέλεις διαρκῶς νὰ ἀκοῦς τὸν ἴδιο λόγο γιὰ συνάντηση ἢ γιὰ λογισμὸ ἀδελφῶν, ὅταν ὑπάρχει ἀνάγκη, ἐγὼ σοῦ λέγω τί πρέπει νὰ κάνεις. Ἐσὺ λοιπὸν νὰ μὴ φροντίσεις γιὰ τίποτε, παρὰ μόνο νὰ διανύσεις τὴν ὁδοιπορία.

Ἀσπάζομαι ἀδείλειπτα τὴν ἀγάπη σου. Αὐτὸ μπορεῖς νὰ τὸ μάθεις ἀπὸ τὸ βαθμιαῖο σβήσιμο ἀπὸ μέσα σου τῆς κινήσεως τῆς φοβερωτάτης ὀργῆς. Νὰ ἔχεις εἰρήνη, ἀδελφέ μου καὶ ἀγαπητὲ Ἰωάννη.

39

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ἐπειδὴ ἤθελε νὰ κόψει τὴν συναναστροφὴ καὶ τοῦ ὑπηρέτη του ἀκόμα, ἐξαιτίας τοῦ λεχθέντος πρὸς αὐτόν, ὅτι 'ἡ ἀμεριμνησία σὲ κάνει νὰ πλησιάσεις τὴν πόλη'· καὶ πρὸς τὸν ἴδιο λογισμὸ ποὺ ἀναζητεῖ τὶς αἰτίες τῶν πειρασμῶν ποὺ μὲ διαφόρους τρόπους ἐπαναστατοῦν ἐναντίον του.

Πὲς στὸν ἀδελφό. Δέξου κάτι ἄλλο σύντομο· καθόσον δὲν ὑπάρχει καιρός· διότι ἐγὼ φροντίζω γιὰ σένα περισσότερο, ἢ καλύτερα ὁ Θεός. Ἀδελφὲ Ἰωάννη, νὰ μὴ φοβηθεῖς καθόλου ἀπὸ τοὺς πειρασμοὺς ποὺ ἐπαναστατοῦν πρὸς δοκιμασία σου· διότι ὁ Θεὸς δὲν σὲ παραδίδει. Ὅταν λοιπὸν σοῦ συμβεῖ κάτι τέτοιο, μὴ κοπιάσεις νὰ ἐρευνᾶς τὰ πράγματα, ἀλλὰ φώναξε δυνατὰ τὸ ὄνομα τοῦ Ἰησοῦ, λέγοντας «Ἰησοῦ, βοήθα με», καὶ θὰ σ' ἀκούσει, διότι βρίσκεται κοντὰ σ' ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται[41]· μὴ ὀλιγοψυχήσεις, ἀλλὰ τρέξε

---

40. Ἐννοεῖται ἐδῶ ἡ ἰδεώδης πόλη τῆς μοναχικῆς ἀναχωρήσεως ἢ ἡ οὐράνια πόλη.

41. Φιλ. 4,5.

τῶν ἐπικαλουμένων αὐτόν· μὴ ὀλιγοψυχήσῃς, ἀλλὰ δράμε προθύμως καὶ καταλαμβάνεις· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Μ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα,*

εἰ ὀφείλει διδάξαι τὸν ἴδιον ὑπηρέτην τὴν σειράν, καὶ περί τινος ἀδελφοῦ ἐρωτήσαντος περὶ τῶν ἰδίων λογισμῶν οὐ σαφῶς, ἀλλὰ δι' αἰνιγμάτων, εἰ καλῶς ἐποίησεν.

Λαμπροτάτη διδασκαλία τοῦ Σωτῆρος ἡμῶν αὕτη ἐστί· «γενηθήτω τὸ θέλημά σου». Εἴ τις οὖν λέγει τὴν προσευχὴν ταύτην μετὰ εἰλικρινείας, τὸ ἴδιον αὐτοῦ θέλημα ἀπολύει, καὶ εἰς τὸ θέλημα τοῦ Θεοῦ κρεμᾷ τὰ πάντα. Τὸ οὖν διδάξαι τὸν ἀδελφὸν συμφέρει μέν, ἔχει δὲ τὸ πρᾶγμα φθόνον· ἀλλὰ δύναται ἀραίως ἅπαξ ἅπαξ, καὶ σκεπάζεται τὸ πρᾶγμα διὰ τὴν συνείδησιν τῶν ἀδελφῶν.

Περὶ δὲ τῆς δι' αἰνιγμάτων ἐρωτήσεως, ἰδιοσκοπία ἐστί, μὴ ἔχουσα διάκρισιν, καὶ χρῄζει ὁ τοιοῦτος πολλῶν εὐχῶν· τὰ γὰρ σημεῖα οὐ τοῖς πιστοῖς, ἀλλὰ τοῖς ἀπίστοις γίνεται.

ΜΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

εἰς πολλοὺς ἐμπεσόντα λογισμοὺς καὶ φροντίδας περὶ τῆς τοῦ Μοναστηρίου συστάσεως.

Πολλὰ τὰ βλύζοντα ἐν τῇ καρδίᾳ σου. Καί φησιν, «ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται». Ἀδελφέ, οὐδεὶς οἶδε ποῦ μέλλει ὁ τόπος οὗτος ἐλθεῖν, εἰ μὴ ὁ καρδιογνώστης Θεὸς μόνος· κἀμὲ ἐπληροφόρησεν. Ἔχε

42. Α' Κορ. 9,24.

42α. Εἶναι τὸ ἐργόχειρο τῆς σχοινοποιΐας, ἀλλὰ καὶ ἡ προσευχὴ ποὺ γίνεται κατὰ τὴ διάρκεια τῆς ἐργασίας.

πρόθυμα καὶ θὰ φθάσεις[42], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

40

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

ἐὰν ὀφείλει νὰ διδάξει τὴν σειρὰ[42α] στὸν ὑπηρέτη του, καὶ γιὰ κάποιον ἀδελφὸ ποὺ ἐρώτησε γιὰ τοὺς ἴδιους λογισμοὺς ὄχι μὲ σαφήνεια, ἀλλὰ μὲ αἰνίγματα, ἐὰν ἐνήργησε σωστά.

Η λαμπρότατη διδασκαλία τοῦ Σωτήρα μας εἶναι αὐτή· «ἂς γίνει τὸ θέλημά σου»[43]. Ἐὰν λοιπὸν λέγει κάποιος μὲ εἰλικρίνεια αὐτὴν τὴν προσευχή, ἀφήνει κατὰ μέρος τὸ δικό του θέλημα καὶ κρεμᾶ τὰ πάντα στὸ θέλημα τοῦ Θεοῦ. Τὸ νὰ διδάξεις λοιπὸν τὸν ἀδελφὸ συμφέρει βέβαια, ἀλλὰ τὸ πρᾶγμα ἔχει φθόνο· μπορεῖ ὅμως νὰ γίνεται κάπου κάπου χάριν τῆς συνειδήσεως τῶν ἀδελφῶν.

Γιὰ τὴν αἰνιγματικὴ ἐρώτηση, εἶναι ἰδιορρυθμία μὴ ἔχοντας διάκριση, καὶ ὁ τέτοιος ἄνθρωπος χρειάζεται πολλὲς εὐχές· διότι τὰ θαύματα δὲν γίνονται γιὰ τοὺς πιστούς, ἀλλὰ γιὰ τοὺς ἀπίστους[44].

41

Ἀπάντηση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ ἔπεσε σὲ πολλοὺς λογισμοὺς καὶ φροντίδες γιὰ τὴ σύσταση τοῦ Μοναστηριοῦ.

Πολλὰ εἶναι τὰ ἀναβλύζοντα στὴν καρδιά σου. Καὶ λέγει, «θὰ τοὺς μετρήσω καὶ θὰ αὐξηθοῦν περισσότερο ἀπὸ τὴν ἄμμο»[45]. Ἀδελφέ, κανεὶς δὲν ξέρει ποῦ πρόκειται νὰ φθάσει αὐτὸς ὁ τόπος, παρὰ μόνο ὁ καρδιογνώστης

43. Ματθ. 6,10. 44. Α΄ Κορ. 14,22. 45. Ψαλμ. 138,18.

οὖν ὅτι οὐκ ἐγκαταλιμπάνει αὐτὸν ὁ Κύριος, ἀλλὰ φυλάττει καὶ δοξάζει αὐτὸν εἰς δόξαν τοῦ ὀνόματος τῆς δόξης αὐτοῦ. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΜΒ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐρωτήσαντα περὶ τῆς συμβάσης αὐτῷ ἀσθενείας, πόθεν ἐστί· καὶ εἰ χρὴ εἰπεῖν τοῖς ἀπερχομένοις ἀδελφοῖς εἰς τὴν Αἴγυπτον, πῶς χρήσασθαι καὶ μεριμνᾶν τὰ περὶ αὐτῶν, μήπως θλιβῶσι διὰ τὴν αὐτῶν πρὸς τοὺς τρόπους ἀπείριαν.*

Εἰπὲ τῷ ἀδελφῷ, μεμιγμένοι εἰσὶν οἱ παρὰ σοὶ Αἰγύπτιοι καὶ Ἱεροσολυμῖται, ἀλλὰ μὴ φροντίσῃς, μέλλει γὰρ τῷ Θεῷ περὶ σοῦ· τὸ δὲ ἐνθύμημά σου, ποίησον κατὰ φόβον Θεοῦ καὶ μὴ θλιβῇς κατὰ τῶν ἀδελφῶν, ἀλλὰ μόνον εὖξαι, καὶ ὁδηγεῖ αὐτοὺς Κύριος κατὰ τὸ θέλημα αὐτοῦ περὶ παντὸς πράγματος, πάρεξ γὰρ τοῦ Θεοῦ οὐδὲν γίνεται, μάλιστα ἐν τῷ τόπῳ τούτῳ, εἰ κατὰ φόβον Θεοῦ πρὸς ἀνάπαυσίν ἐστι καὶ ὠφέλειαν ψυχῶν.

ΜΓ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ὥστε πάντα τὰ καθ' ἑαυτὸν ἀναθεῖναι Θεῷ.*

Θεός[46], ποὺ πληροφόρησε καὶ μένα. Γνώριζε λοιπὸν ὅτι ὁ Κύριος δὲ τὸν ἐγκαταλείπει, ἀλλὰ τὸν φυλάγει καὶ τὸν δοξάζει στὴ δόξα τοῦ ὀνόματος τῆς δόξας του. Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

42

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ τὸν ἐρώτησε γιὰ τὴν ἀρρώστια ποὺ τοῦ συνέβηκε, ἀπὸ ποῦ προῆλθε. Ἐπίσης ἐὰν πρέπει νὰ πεῖ στοὺς ἀδελφούς, ποὺ πηγαίνουν στὴν Αἴγυπτο, πῶς νὰ χρησιμοποιοῦν καὶ νὰ μεριμνοῦν γιὰ τὰ σχετικὰ μ' αὐτούς, μήπως στενοχωρηθοῦν ἐξαιτίας τῆς ἀπειρίας τους στοὺς τρόπους.

Πὲς στὸν ἀδελφό, οἱ Αἰγύπτιοι καὶ οἱ Ἱεροσολυμίτες ποὺ εἶναι κοντά σου εἶναι ἀναμιγμένοι, ἀλλὰ μὴ στενοχωρηθεῖς, διότι ἐνδιαφέρεται ὁ Θεὸς γιὰ σένα. Κάνε αὐτὰ ποὺ σκέπτεσαι σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ καὶ νὰ μὴ στενοχωριέσαι κατὰ τῶν ἀδελφῶν, ἀλλὰ μόνο προσευχήσου, καὶ ὁ Κύριος θὰ τοὺς ὁδηγεῖ σὲ κάθε πρᾶγμα σύμφωνα μὲ τὸ θέλημά του, διότι τίποτε δὲν γίνεται χωρὶς τὸ Θεό· κυρίως μάλιστα σ' αὐτὸν τὸν τόπο, ἂν γίνεται σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ, ὁδηγεῖ σὲ ἀνάπαυση καὶ ὠφέλεια ψυχῶν.

43

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ὥστε ὅλα τὰ σχετικὰ μὲ τὸν ἑαυτό του νὰ τὰ ἀναθέσει στὸ Θεό.

---

46. Πράξ. 15, 8.

Εἴ τις πίνει ἐκ τοῦ ὕδατος, οὗ ἔπεμψά σοι δι' ἐπιστολῶν, οὐ διψᾷ εἰς τὸν αἰῶνα. Σὺ δὲ ὤφειλες προσδοκᾶν καὶ ἐλπίζειν ἀνάπαυσιν διὰ πίστεως Χριστοῦ. Λάβε τὸν ἄρτον τοῦτον ἐκ τῆς ἐμῆς τροφῆς, καὶ ἀμερίμνει. Μηδὲν φοβηθῇς, ἀλλὰ λάβε δύναμιν διὰ τοῦ ἁγίου Πνεύματος καὶ ἐλπίδα· πίστευσον ὅτι ἡ χεὶρ τοῦ Θεοῦ μετὰ σοῦ ἐστιν.

ΜΔ'

Ἐκ τῆς πεμφθείσης αὐτῷ εὐλογίας δέδωκε τῷ αὐτοῦ ὑπηρέτῃ, οὐκ ἀπὸ χειρός, ὡς μὴ ὢν κληρικός, ἀλλ' ἔθηκε, κἀκεῖνος ἑαυτῷ ἔλαβε· καὶ δεξάμενος ἐκ δευτέρου καὶ τρίτου εὐλογίαν, τὸ αὐτὸ ἐποίησε καὶ ποιῶν τοῦτο δίχα ἐπιτροπῆς, οὐκ ἐνόει τὸ ἁμάρτημα. Καὶ πάλιν ὅτε εἶδε ταῖς εὐχαῖς τοῦ Γέροντος ἑαυτὸν κουφισθέντα ἐκ τῶν παθῶν, εἶπεν, 'ἠτόνησαν ἐξ ἐμοῦ τὰ πάθη'. Καὶ μετὰ ταῦτα ἔπεμψεν ἐρωτῶν περὶ λογισμῶν βλασφημίας, καὶ οὐκ ἔλαβεν ἀπόκρισιν. Καὶ ἐν τῷ θαυμάζειν αὐτὸν τὴν αἰτίαν, ἐξαίφνης κατὰ συγχώρησιν Θεοῦ πρὸς παιδείαν ὤφθη αὐτῷ φάντασμα φοβερόν, καὶ ἅπαξ καὶ δίς, καὶ παρὰ χρῆμα ἀπῆλθε· καὶ πολλοῦ πληρωθεὶς θορύβου καὶ ταραχῆς, ἐμνήσθη τὸ σφάλμα μόνου τοῦ ἄρτου, ἐπιλαθόμενος τὸ παρ' αὐτοῦ ῥηθὲν ἐπὶ τῆς ἀσθενείας τῶν παθῶν. Καὶ φορέσας τὸ πεμφθὲν αὐτῷ ποτε παρὰ τοῦ Γέροντος κουκούλιον, πολλὰ προσέπιπτε καὶ παρεκάλει τυχεῖν ἐλέους. Καὶ γράφει αὐτῷ ὁ Γέρων περὶ τῶν δύο πταισμάτων, ἔτι δὲ καὶ περὶ τοῦ λογισμοῦ τῆς βλασφημίας καὶ ὅτι τὸ θεῖναι τὰς εὐλογίας τῷ ὑπηρέτῃ, ὥς τε αὐτὸν λαβεῖν οὐκ ἦν ταπείνωσις, ἀλλὰ μᾶλλον φυσίωσις καὶ παιδικῆς διανοίας.

Αν κάποιος πίνει ἀπὸ τὸ νερὸ ποὺ σοῦ ἔστειλα μὲ τὶς ἐπιστολές, δὲν διψᾶ στὸν αἰώνα[47]. Ἐσὺ λοιπὸν ἔπρεπε νὰ περιμένεις καὶ νὰ ἐλπίζεις στὴν ἀνάπαυση μὲ τὴν πίστη στὸ Χριστό. Πάρε αὐτὸν τὸν ἄρτο ἀπὸ τὴ δική μου τροφὴ καὶ μεῖνε ἀμέριμνος. Μὴ φοβηθεῖς τίποτε, ἀλλὰ πάρε δύναμη καὶ ἐλπίδα μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος. Πίστεψε, ὅτι τὸ χέρι τοῦ Θεοῦ εἶναι μαζί σου.

44

Ἀπὸ τὴν εὐλογία ποὺ τοῦ στάλθηκε, εἶχε δώσει στὸν ὑπηρέτη του ὄχι μὲ τὸ χέρι, ἐπειδὴ δὲν ἦταν κληρικός, ἀλλὰ τὴν ἄφησε καὶ ἐκεῖνος πῆρε γιὰ τὸν ἑαυτό του· καὶ ἀφοῦ δέχθηκε γιὰ δεύτερη καὶ τρίτη φορὰ εὐλογία, ἔκανε τὸ ἴδιο καὶ κάμνοντάς το αὐτὸ χωρὶς παραγγελία, δὲν ἀντιλαμβανόταν τὴν ἁμαρτία. Καὶ πάλι ὅταν εἶδε μὲ τὶς εὐχὲς τοῦ Γέροντα νὰ ἀνακουφίζεται ἀπὸ τὰ πάθη, εἶπε, 'τὰ πάθη ἀτόνισαν μέσα μου'. Καὶ μετὰ ἀπὸ αὐτὰ ἔστειλε νὰ ρωτήσει γιὰ τοὺς λογισμοὺς τῆς βλασφημίας καὶ δὲν πῆρε ἀπάντηση. Καὶ ἐνῶ ἀποροῦσε γιὰ τὴν αἰτία, ξαφνικὰ κατὰ παραχώρηση τοῦ Θεοῦ γιὰ παιδεία, τοῦ φανερώθηκε φοβερὸ φάντασμα μία καὶ δύο φορές, καὶ ἀμέσως ἔφυγε, καὶ ἀφοῦ τὸν γέμισε μὲ πολὺ θόρυβο καὶ ταραχή, θυμήθηκε μόνο τὸ σφάλμα τοῦ ἄρτου, ξεχνώντας ἐκεῖνο ποὺ λέχθηκε ἀπὸ αὐτὸν γιὰ τὴν ἀσθένεια τῶν παθῶν. Ἀφοῦ φόρεσε τὸ κουκούλιο ποὺ τοῦ ἔστειλε κάποτε ὁ Γέροντας, ἔκαμνε πολλὰ προσκυνήματα καὶ παρακαλοῦσε νὰ λάβει ἔλεος. Ὁ Γέροντας τότε τοῦ γράφει γιὰ τὰ δύο σφάλματα καθὼς καὶ γιὰ τὸν λογισμὸ τῆς βλασφημίας, καὶ ὅτι τὸ νὰ τοποθετει κάπου τὶς εὐλογίες γιὰ νὰ τὶς πάρει ὁ ἴδιος ὁ ὑπηρέτης, δὲν ἦταν ταπείνωση, ἀλλὰ μᾶλλον ἀλαζονεία καὶ δεῖγμα παιδικῆς σκέψεως.

---

47. Ἰω. 4, 14.

Εἴ τις οἶδεν ὅτι παραβαίνει τὴν ἐντολήν, τεκμήριον ἓν δεικνύει γνώσεως· καὶ ὁ γινώσκων διορθοῦται. Ἀλλ' ἁπλῶς λαλοῦμεν, ὡς δήποτε ἐν τῇ χειρὶ τοῦ Θεοῦ παρέθηκά σε καὶ ἐκκλίνεις ἀπ' αὐτῆς; Καὶ ἡ Γραφὴ λέγει ἐκ στόματος τοῦ Θεοῦ, «ὅτι οἱ δίκαιοι οὐκ ἐκκλινουσι»· τί δοκιμάζεις; εἰπώ. Καὶ πάλιν λέγει· «μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν». Καὶ ἐτόλμησας ἀνοῖξαι τὸ στόμα ἐνώπιον τοῦ Θεοῦ καὶ εἰπεῖν ὅτι 'ἠτόνησαν ἀπ' ἐμοῦ τὰ πάθη' καὶ οὐχὶ μᾶλλον εἶπας ὅτι 'ἐν θησαυρῷ κεῖνται ἐν ἐμοὶ ὅλα';

Διὰ τοῦτο μικρὸν ἐγκατελείφθης καὶ ἐφάνη σου ὅλη ἡ ταλαιπωρία καὶ εἰ μὴ ἦ ὃ εἶλες σκέπασμα, κοπιάσαι εἶχες. Ἀλλὰ πιστὸς ὁ Θεός φησιν, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, πρὸς τὸ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν. Καὶ τὸ ἀκαίρως ποιῆσαι πρᾶγμα, ἐκ θελήματός ἐστιν ἰδίου τοῦ φυσιοῦσθαι, μὴ ἔχων χειροτονίαν, καὶ τὸ δοῦναι ἄλλοις εὐλογίαν ὡς ἀρχιεπίσκοπος, οὐκ οἶδα ἐγὼ πῶς ταῦτα ἐκφράσω. Τί οὖν ἐγὼ οὐκ ᾔδειν τοῦ πᾶσι πέμψαι εὐλογίας; ἢ σοὶ πάντως ἔπεμψα. Ἰδοὺ οὖν μικρὸν ὑπὲρ μεγάλων καὶ πολλῶν ἐπαιδεύθης.

Νῆψαι λοιπὸν τοῦ ἐξολοθρεῦσαι τὰ ὀκτὼ ἔθνη τὰ ἀλλόφυλα στερεῶς καὶ μὴ καθίσῃς παιδικοῖς συρόμενος πράγμασι, καὶ κτῆσαι στυφότητα, ἢ γὰρ ἁπλότητα· καὶ γὰρ πολλάκις ἤκουσας, ὅτι «μετὰ βουλῆς πάντα ποίει». Καὶ περὶ παντὸς πάθους καὶ βλασφημίας, δεήθητι τοῦ Θεοῦ, καὶ συναντιλαμβάνεταί σου κατὰ μικρόν. Καὶ νῆψον τοῦ λοιποῦ καὶ τήρησον αὐτὰ ἐν τῇ καρδίᾳ σου. Καὶ οὐ χρεία ἵνα τις μάθῃ, ἀλλ' ὃ γέγονε, γέγονε. Ἔσται οὖν Ἰησοῦς μετὰ σοῦ.

---

48. Παρμ. 18,5.
49. Α' Βασ. 2,3.

Εάν κάποιος γνωρίζει ὅτι παραβαίνει τὴν ἐντολή, παρουσιάζει μία ἀπόδειξη γνώσεως· καὶ ἐκεῖνος ποὺ τὸ γνωρίζει, διορθώνεται. Ἀλλὰ ἁπλῶς τὸ λέμε, ὅτι δηλαδὴ σὲ παρέθεσα στὸ χέρι τοῦ Θεοῦ, καὶ ἀπομακρύνεσαι ἀπ' αὐτό; Καὶ ἡ Γραφὴ μὲ τὸ στόμα τοῦ Θεοῦ λέγει, «οἱ δίκαιοι δὲν παρεκκλίνουν»[48]. Ἐρωτῶ λοιπόν. Τί ἐπιχειρεῖς; Καὶ πάλι λέγει· «νὰ μὴ βγεῖ λόγος καυχήσεως ἀπὸ τὸ στόμα σας»[49]. Καὶ σὺ τόλμησες νὰ ἀνοίξεις τὸ στόμα σου ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ πεῖς ὅτι 'ἀτόνησαν ἀπὸ μένα τὰ πάθη', καὶ δὲν εἶπες καλύτερα ὅτι 'ὅλα βρίσκονται γιὰ μένα στὸ θησαυρό';

Γι' αὐτὸ ἐγκαταλείφθηκες γιὰ λίγο καὶ σοῦ παρουσιάσθηκε ὅλη ἡ ταλαιπωρία. Ἂν δὲν ὑπῆρχε τὸ σκέπασμα ποὺ ἀφαίρεσες, θὰ κοπίαζες πολύ. Ἀλλὰ λέγει «ὁ Θεὸς εἶναι πιστὸς»[50] καὶ δὲν θὰ μᾶς ἀφήσει νὰ πειρασθοῦμε παραπάνω ἀπ' ὅ,τι μποροῦμε, ἀλλὰ θὰ βάλει μαζὶ μὲ τὸν πειρασμὸ καὶ τὴν ἔξοδο ἀπ' αὐτόν, γιὰ νὰ μποροῦμε νὰ τὸν ὑπομείνουμε[51]. Καὶ τὸ νὰ κάνεις κάτι ἀκαίρως, προέρχεται ἀπὸ τὸ θέλημά σου τῆς ἀλαζονείας, ἐνῶ δὲν ἔχεις χειροτονία, καὶ τὸ νὰ δίνεις σὲ ἄλλους εὐλογία σὰν ἀρχιεπίσκοπος, δὲν ξέρω ἐγὼ πῶς νὰ τὸ ἐξηγήσω. Γιατί δηλαδή, ἐγὼ δὲν γνώριζα νὰ στείλω εὐλογία σὲ ὅλους; ἀλλ' ὅμως τὴν ἔστειλα σὲ σένα. Νὰ λοιπόν, παιδεύτηκες λίγο γιὰ πολλὰ καὶ μεγάλα.

Ἀνάνηψε λοιπόν, γιὰ νὰ ἐξολοθρεύσεις τὰ ὀκτὼ ἀλλόφυλα ἔθνη σταθερὰ καὶ νὰ μὴ καθίσεις συρόμενος ἀπὸ παιδικὰ πράγματα, ἀλλὰ ἀπόκτησε συστολὴ ἢ ἁπλότητα. Διότι πολλὲς φορὲς ἄκουσες ὅτι «ὅλα νὰ τὰ κάνεις μὲ περίσκεψη»[52], καὶ γιὰ κάθε πάθος καὶ βλασφημία νὰ παρακαλεῖς τὸ Θεὸ καὶ σύντομα θὰ σὲ βοηθάει. Ἀνάνηψε ἀπὸ ἐδῶ καὶ πέρα καὶ φύλαξε αὐτὰ στὴν καρδιά σου. Καὶ δεν εἶναι ἀνάγκη νὰ τὸ μάθει κανείς, ἀλλὰ ὅ,τι ἔγινε, ἔγινε. Ἂς εἶναι λοιπὸν ὁ Ἰησοῦς μαζί σου.

---

50. Α' Κορ. 1,9.
51. Α' Κορ. 10,13.
52. Παρμ. 31,4.

Συγχώρησόν μοι τὰ παρελθόντα καὶ διορθοῦμαι τὰ μέλλοντα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΜΕ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν,*

ὅτε εἰς μεγάλην ἐμπεσὼν ἀρρωστίαν καὶ σφοδροτάτῳ κρατούμενος πυρετῷ, καὶ ἐπὶ πολλὰς ἡμέρας μήτε τραφεὶς μήτε καθευδήσας, ἔκραξεν ἐρίζων πρὸς τὸν ἀββᾶν καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ ἀδελφούς, κατ' ἐνέργειαν διαβόλου.

Ἀδελφέ, τί ἐξυδαρώθη σου ἡ καρδία τοῦ ἀφεῖναι τὸν ἀγαπητόν, καὶ τρέχειν ὀπίσω τοῦ ἐχθροῦ; ἀφῆκας τὴν φωνὴν τοῦ ποιμένος Χριστοῦ, καὶ ἐξηκολούθησας ὀπίσω τοῦ λύκου διαβόλου; Τί ἔπαθες; τί ὑπέμεινας; τί εἰσιν αἱ κραυγαὶ αὗται, ἃς ἠρίθμησεν ὁ Ἀπόστολος μετὰ τῶν δυσφήμων ἐκείνων; «πᾶσα κραυγὴ καὶ βλασφημία καὶ ὀργὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ». Ὑπὲρ τὴν δύναμιν ἔπαθες οὐδέν, τοῦ Ἀποστόλου βοῶντος· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα» καὶ τὰ λοιπά. Ἐξυπνίσθητι ἀπὸ τῆς ταραχῆς ταύτης τῶν κακῶν λογισμῶν. Λάβε τὴν ῥάβδον τοῦ σταυροῦ, ἐν ᾗ ἀπελαύνεις τοὺς λύκους, τουτέστι τοὺς δαίμονας· καὶ μνήσθητι τοῦ εἰπεῖν· «ἵνα τί περίλυπτος εἶ ἡ ψυχή μου» καὶ «ἵνα τί συνταράσσῃς με;». Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Νῆψον τοῦ λοιποῦ καὶ μὴ ἐκκαυθῇς ὡς ἄφρον παιδίον μὴ ἔχον αἴσθησιν, χρεωστῶν ἀνελθεῖν μετὰ Χριστοῦ εἰς τὸν σταυ-

---

53. Ἐννοεῖται ὁ ἡγούμενος τοῦ μοναστηρίου Σέριδος.

54. Ἀφήνεις τὸν ἀγαπητὸ Ἰησοῦ Χριστὸ καὶ τρέχεις πίσω ἀπὸ τὸν διάβολο.

Συγχώρεσέ μου τὰ περασμένα καὶ θὰ σὲ ἀσφαλίσω ἀπὸ τὰ μέλλοντα στοὺς αἰῶνες. Γένοιτο.

45

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ὅταν ἔπεσε σὲ μεγάλη ἀρρώστια καὶ κυριεύθηκε ἀπὸ φοβερώτατο πυρετό, καὶ γιὰ πολλὲς ἡμέρες χωρὶς νὰ τρώγει οὔτε νὰ κοιμᾶται φώναζε φιλονικώντας μὲ τὸν Ἀββᾶ[53] καὶ τοὺς ἀδελφοὺς ποὺ τὸν ὑπηρετοῦσαν ἐξαιτίας τῆς ἐπενέργειας τοῦ διαβόλου.

Αδελφέ, γιατί ἡ καρδιά σου ἀτόνησε, ὥστε νὰ ἀφήνεις τὸν ἀγαπητὸ καὶ νὰ τρέχεις πίσω ἀπὸ τὸν ἐχθρό[54]; ἄφησες τὴ φωνὴ τοῦ ποιμένα Χριστοῦ καὶ ἀκολούθησες τοῦ λύκου διαβόλου; Τί ἔπαθες; τί ὑπέμεινες; τί εἶναι αὐτὲς οἱ κραυγές, τὶς ὁποῖες ἀπαρίθμησε ὁ Ἀπόστολος μαζὶ μ' ἐκεῖνες τὶς βλασφημίες; «κάθε κραυγὴ καὶ βλασφημία καὶ ὀργὴ νὰ φύγει ἀπὸ σᾶς μαζὶ μὲ κάθε κακία[55]. Δὲν ἔπαθες τίποτα πάνω ἀπὸ τὴ δύναμή σου, ἀφοῦ ὁ Ἀπόστολος βροντοφωνάζει· «ὁ Θεὸς εἶναι πιστός, ὁ ὁποῖος δὲν θὰ μᾶς ἀφήσει νὰ πειρασθοῦμε πάνω ἀπὸ ὅσο μποροῦμε»[56] καὶ τὰ λοιπά. Ξύπνα ἀπὸ αὐτὴ τὴν ταραχὴ τῶν κακῶν λογισμῶν. Πάρε τὴν ράβδο τοῦ σταυροῦ, μὲ τὴν ὁποία διώχνεις τοὺς λύκους, δηλαδὴ τοὺς δαίμονες, καὶ θυμήσου τὰ λόγια, 'γιατί εἶναι λυπημένη ἡ ψυχή μου· καὶ γιατί μὲ ταράσσεις;' Στήριξε τὴν ἐλπίδα στὸ Θεό, διότι λέγει, «θὰ ἐξομολογηθῶ σ' αὐτόν, ποὺ εἶναι σωτηρία τοῦ προσώπου μου καὶ ὁ Θεός μου»[57].

Ἀνάνηψε στὸ ἑξῆς καὶ νὰ μὴ μεγαλαυχήσεις σὰν ἀνόητο παιδὶ ποὺ δὲν ἔχει αἴσθηση, διότι ὀφείλεις ν' ἀνεβεῖς μαζὶ μὲ

55. Ἐφ 4,31.
56. Α' Κορ. 10,13.
57. Ψαλμ. 42,5.

πανουργίᾳ αὐτοῦ, ὡς εἶδεν ὅτι, οὐ παραδίδωσί σε ὁ Κύριος πειρασθῆναι εἰς τέλος, οὐδὲ ὑπὲρ τὴν δύναμίν σου, ἐποίησέ σε ἰδεῖν ἐκκλησίαν καὶ μοναστήριον δῆθεν βοηθείας. Σὺ οὖν ἀσφάλισαι τὴν καρδίαν σου σφραγίζων ἀταράχως ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ πιστεύω ὅτι βοηθεῖ ἡμῖν τοῦ καταπατῆσαι τὴν κεφαλὴν αὐτοῦ.

Κτῆσαι οὖν ταπεινὴν καρδίαν καὶ δὸς δόξαν τῷ σώσαντί σε ἀπὸ τῆς παγίδος τοῦ διαβόλου· σὺ γὰρ ἀπὸ ἀμελείας ταῦτα ἔπαθες.

ΜΖ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, ἐμπεσόντα εἰς πόλεμον ἐκ διαφόρων συστάντα λογισμῶν, καὶ σφόδρα ὄντα βαρύτατον καὶ τοῖς πολλοῖς ἀκατάληπτον.*

Εἰπὲ τῷ ἀδελφῷ Ἰωάννῃ, θαυμάζω τὴν ἀγάπην σου, πῶς οὐ νοεῖς τὰ πράγματα. Ἐγὼ γὰρ βλέπων τὰς θλίψεις σου πολλὰς πολλάκις, ἀπ' ἐμαυτοῦ ἔπεμψά σοι εὐλογίας, ἵνα λάβῃς δι' αὐτῶν δύναμιν κατὰ Θεόν· ἀλλ' ὀφείλεις μελετᾶν πάντοτε τὸν ρς' ψαλμόν. Ὅθεν λέγει, «εἶπε καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς· ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων»· καὶ πάλιν, «ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο». Ταῦτα ἦλθεν ἐφ' ἡμᾶς καὶ ὀφείλομεν ὑπενεγκεῖν τοὺς τοιούτους κινδύνους, ἕως οὗ φθάσωμεν εἰς τὸν λιμένα τοῦ θελήματος αὐτοῦ, καθὼς προέγραψά σοι.

---

64. Α' Κορ. 10,13.

ναι πονηρὸς στὴν πανουργία του, μόλις εἶδε ὅτι ὁ Κύριος δὲ σὲ ἀφήνει νὰ πειρασθεῖς μέχρι τὸ τέλος οὔτε πάνω ἀπὸ τὴ δύναμή σου[64], σὲ ἔκανε νὰ δεῖς, δῆθεν γιὰ βοήθεια, ἐκκλησία καὶ μοναστήρι. Ἐσὺ λοιπὸν ἀσφάλισε τὴν καρδιά σου, σφραγίζοντάς την ἀτάραχα στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ πιστεύω ὅτι μᾶς βοηθεῖ γιὰ νὰ καταπατήσουμε τὸ κεφάλι του.

Ἀπόκτησε λοιπὸν ταπεινὴ καρδιὰ καὶ δῶσε δόξα σ' Ἐκεῖνον ποὺ σὲ ἔσωσε ἀπὸ τὴν παγίδα τοῦ διαβόλου. Διότι σὺ τὰ ἔπαθες αὐτὰ ἀπὸ ἀμέλεια.

47

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

> ὅταν ἔπεσε σὲ πόλεμο ποὺ τὸν δημιούργησαν διάφοροι λογισμοί, καὶ ἦταν βαρύτατος καὶ ἀκατανόητος στοὺς πολλούς.

Πὲς στὸν ἀδελφὸ Ἰωάννη, ἀπορῶ τὴν ἀγάπη σου, πῶς δὲν καταλαβαίνεις τὰ πράγματα. Διότι ἐγὼ πολλὲς φορές, βλέποντας τὶς πολλὲς θλίψεις σου, σοῦ ἔστειλα ἀπὸ μόνος μου εὐλογίες, γιὰ νὰ πάρεις μ' αὐτὲς δύναμη μὲ τὴ βοήθεια τοῦ Θεοῦ· ἀλλὰ ὀφείλεις νὰ μελετᾶς πάντοτε τὸν 106ο ψαλμό, ὅπου λέγει, «εἶπε καὶ στάθηκε πνεῦμα καταιγίδας καὶ σηκώθηκαν τὰ κύματά της· ἀνεβαίνουν μέχρι τοὺς οὐρανοὺς καὶ κατεβαίνουν μέχρι τὴν ἄβυσσο»· καὶ πάλι «ἡ ψυχή τους ἔλειωσε μέσα στὰ κακά»[65]. Αὐτὰ συνέβηκαν σὲ μᾶς καὶ ὀφείλουμε νὰ ὑποφέρουμε αὐτοὺς τοὺς κινδύνους, ὥς ποὺ νὰ φθάσουμε στὸ λιμάνι τοῦ θελήματος αὐτοῦ[66], ὅπως σοῦ ἔγραψα προηγουμένως.

---

65. Ψαλμ. 106,25.
66. Ψαλμ. 106,26.

Λοιπὸν ὁ Θεὸς οὐ παρέδωκέ σε εἰς τὰς χεῖρας τῶν ἐχθρῶν σου καὶ μὴ παραδῷς σεαυτὸν εἰς τὰς χεῖρας αὐτῶν· κἂν οὕτω ποιῇς, ὁ Θεὸς οὐ παραδίδωσί σε. Θέλεις δὲ λυτρωθῆναι ἀπὸ τῶν θλίψεων καὶ μὴ κοπιᾶν εἰς αὐτάς; προσδόκα χείρονα καὶ ἀναπαύῃ. Μιμνήσκου τοῦ Ἰὼβ καὶ τῶν καθεξῆς ἁγίων πόσας ὑπέμειναν θλίψεις καὶ τὴν ὑπομονὴν αὐτῶν κτῆσαι καὶ παρακαλεῖταί σου τὸ πνεῦμα.

Ἀνδρίζου καὶ ἴσχυε καὶ εὖξαι ὑπὲρ ἐμοῦ, μνημονεύων τῶν λόγων μου· καὶ ἡ ψυχή μου ἀνανεοῦται.

ΜΗ'

Τοῦ ἀββᾶ βραδύναντος κατά τινα πρόφασιν ἀπενεγκεῖν αὐτῷ τὴν προρρηθεῖσαν ἀπόκρισιν, σφόδρα αὐτῷ ἐνεκάλεσε καὶ εἰς πολλὴν αὐτὸν ἐνέθηκεν ἀθυμίαν. Καί τινων ἀδελφῶν τῶν διὰ τὴν ἀσθένειαν ἐξυπηρετουμένων, εἰπόντων αὐτῷ περί τινων πραγμάτων ὡς ἀργῶς καὶ ἀνωφελῶς ἐν τῷ κοινοβίῳ γινομένων, ἀντὶ τοῦ νουθετῆσαι καὶ διορθῶσαι αὐτοὺς τῆς τοιαύτης καταλαλιᾶς, εἶπε 'μηδὲ αὐτῷ ἀρέσκειν ταῦτα'· καὶ τοῦ ἀββᾶ μετὰ ταῦτα εἰπόντος αὐτῷ, ὅτι κατὰ γνώμην τοῦ Γέροντος καὶ ταῦτα ἐποίησα, εἶπεν αὐτῷ ὅτι 'κατὰ τὸ θέλημά σου ἀφῆκέ σε ὁ Γέρων πορεύεσθαι'· καὶ πρὸς ταῦτα πέμπει αὐτῷ τὴν ἀπόκρισιν ταύτην, σημαίνων αὐτῷ ἐν αὐτῇ, ὅτι τὰ δοκοῦντα ἡμῖν οὐκ ὀρθῶς γίνεσθαι, οἰκονομικῶς πράττεται ὑπὲρ τὴν ἡμετέραν ὄντα κατάληψιν.

Πάλιν διὰ χρόνου ἤγειρεν ἡμᾶς ἡ ἀγάπη τοῦ κροταφῆσαι τῇ ῥάβδῳ τοῦ Χριστοῦ τῆς παιδείας καὶ τῆς ἐπιτιμίας, ἵνα πληρωθῇ καὶ εἰς ἡμᾶς ὁ γραφικὸς λόγος, λέγων· «ἀξιοπιστότερα τραύματα φίλου» καὶ τὰ ἑξῆς· καὶ πάλιν, «ἐὰν παιδεύσωμέν σε μὴ ἐκλυθῇς»· μιμνησκόμενος τῆς παροιμίας

---

67. Δ' Βασ. 21,14.

Λοιπὸν ὁ Θεὸς δὲν σὲ παρέδωσε στὰ χέρια τῶν ἐχθρῶν σου[67] καὶ μὴ παραδώσεις τὸν ἑαυτό σου στὰ χέρια τους· καὶ ἂν τὸ κάνεις αὐτό, ὁ Θεὸς δὲν θὰ σὲ παραδώσει. Θέλεις νὰ λυτρωθεῖς ἀπὸ τὶς θλίψεις καὶ νὰ μὴ κοπιάζεις σ' αὐτές; Περίμενε χειρότερα καὶ θὰ βρεῖς ἀνάπαυση· θυμήσου τὸν Ἰὼβ καὶ τοὺς στὴ συνέχεια ἁγίους, πόσες θλίψεις ὑπέμειναν, καὶ ἀπόκτησε τὴν ὑπομονή τους καὶ τὸ πνεῦμα σου θὰ παρηγορηθεῖ.

Γίνε ἀνδρεῖος καὶ δυνατὸς[68] καὶ προσευχήσου γιὰ μένα, ἐνθυμούμενος τὰ λόγια μου. Καὶ ἡ ψυχή μου θὰ ἀνανεωθεῖ.

48

Ἐπειδὴ ὁ Ἀββᾶς ἄργησε ἀπὸ κάποια αἰτία νὰ τοῦ στείλει τὴν ἀπάντηση ποὺ λέχθηκε πρίν, τὸν κατηγόρησε πολὺ καὶ τοῦ προξένησε πολλὴ ἀθυμία. Καὶ ὅταν μερικοὶ ἀδελφοί, ποὺ τὸν ἐξυπηρετοῦσαν ἐξαιτίας τῆς ἀρρώστιας, τοῦ εἶπαν, ὅτι μερικὰ πράγματα γίνονται ἀργὰ καὶ ἀνώφελα στὸ κοινόβιο, ἀντὶ νὰ τοὺς συμβουλέψει καὶ νὰ τοὺς διορθώσει ἀπὸ αὐτὴ τὴν καταλαλιά, εἶπε, ὅτι οὔτε σ' ἐκεῖνον ἀρέσουν αὐτά· καὶ ὅταν ὁ Ἀββᾶς μετὰ ἀπὸ αὐτὰ τοῦ εἶπε, 'σύμφωνα μὲ τὴ γνώμη τοῦ Γέροντα τὰ ἔκανα καὶ αὐτά', τοῦ εἶπε, 'ὁ Γέροντας σὲ ἄφησε νὰ βαδίζεις σύμφωνα μὲ τὸ θέλημά σου', γιὰ ὅλα αὐτὰ τοῦ στέλλει αὐτὴν τὴν ἀπάντηση, τονίζοντάς του σ' αὐτήν, ὅτι ἐκεῖνα ποὺ νομίζουμε ὅτι δὲν γίνονται σωστά, πραγματοποιοῦνται κατ' οἰκονομία ἐπάνω ἀπὸ τὴ δική μας κατάληψη.

Πάλι, ἔπειτα ἀπὸ καιρό, μὲ παρακίνησε ἡ ἀγάπη νὰ σὲ χτυπήσουμε μὲ τὴ ράβδο τοῦ Χριστοῦ, τῆς παιδαγωγίας καὶ τῆς ἐπιτιμήσεως, γιὰ νὰ πραγματοποιηθεῖ καὶ σὲ μᾶς ὁ γραφικὸς λόγος ποὺ λέγει, «τὰ τραύματα τοῦ φίλου εἶναι ἀξιοπιστότερα»[69] καὶ τὰ ἑξῆς· καὶ πάλι «ἐὰν σὲ παιδεύσουμε

68. Ἰησ. Ναυῆ 1,6.

69. Παρμ. 26,6.

τοῦ λέγοντος· «υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται»· κἂν δὲ ἐπιτιμήσω σοι, οὐκ ἀγνοεῖς πῶς λέγει ὁ Ἀπόστολος, «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον»;

Ποῦ ἐστιν ὁ νοῦς σου, νωθρέ; ἢ ποῦ διάγει ὁ λογισμός σου, ὀκνηρέ; διατί οἱ κύριοι τοῦ νοῦ σου ἀντιλέγουσιν ἐν σοὶ τοῖς μαθηταῖς τοῦ δεσπότου μὴ λαβεῖν αὐτὸν πρὸς τὸ ἐπιβῆναι ἐπ' αὐτοῖς τὸν δεσπότην, ἵνα εἰσέλθῃ εἰς Ἱεροσόλυμα καὶ ἐκβάλῃ ἐκ τοῦ ναοῦ τοῦ Θεοῦ τοὺς πωλοῦντας καὶ ἀγοράζοντας καὶ καταισχύνῃ τοὺς Γραμματεῖς καὶ Φαρισαίους; Διατί οἰκῆσαι ὀφείλοντός σου τὴν Ἱερουσαλήμ, ἕλκουσί σε εἰς Βαβυλῶνα; Διατί ἀφεὶς τὸ ὕδωρ τοῦ Σιλωάμ, θέλεις πιεῖν ἐκ τῶν θολερῶν ὑδάτων τῶν Αἰγυπτίων; Διατί πλαγιάζεις ἐκ τῆς ὁδοῦ τῆς ταπεινώσεως τῆς λεγούσης, 'ἐγὼ τίς εἰμι', καὶ θέλεις βαδίζειν εἰς τὴν ὁδὸν τὴν διεστραμμένην, τὴν γέμουσαν θλίψεων καὶ κινδύνων;

Ποῦ ἔβαλές μου τοὺς λόγους τοὺς πρὸς σὲ εἰρημένους νύκτα καὶ ἡμέραν; Ποῦ ἐστιν ὃ λέγω σοι ὡς ἐμαυτῷ τοῦ καταντῆσαι καὶ ποῦ βλέπεις σεαυτὸν καταντοῦντα; Ποῦ θέλω σε εἶναι καὶ ποῦ εἶ; διὰ τὸ ἀκατάσχετον ἔχειν τὴν γλῶτταν καὶ ἀπολύειν αὐτὴν ἀφαρεί. Καὶ ἐὰν δώσῃς τῷ πλησίον λογισμόν, οὐκ ἀκριβάζῃ τοῦ κατανοῆσαι· μάλιστα τῷ μετὰ τὸν Θεὸν σκεπάζοντι ἡμᾶς καὶ τὸν τράχηλον αὐτοῦ ὑπὲρ ἡμῶν θήσαντι, ᾧ ὀφείλομεν εὐχαριστεῖν καὶ ὑπερεύχεσθαι τοῦ φυλαχθῆναι ἀπὸ παντὸς κακοῦ πρὸς ὠφέλειαν ἡμῶν καὶ πολλῶν· μαθόντες τοῦτο παρὰ

---

70. Παρμ. 3,11,12.
71. Β' Τιμ. 4,2.

νὰ μὴ χαυνωθεῖς», ἐνθυμούμενος τὴν παροιμία ἐκείνου ποὺ λέγει· «υἱέ μου, νὰ μὴ περιφρονήσεις τὴν παιδαγωγία τοῦ Κυρίου οὔτε νὰ στενοχωρηθεῖς ὅταν ἐλέγχεσαι ἀπὸ αὐτόν· διότι ὁ Κύριος παιδεύει ὅποιον ἀγαπᾶ, καὶ μαστιγώνει κάθε υἱὸ τὸν ὁποῖο παραδέχεται»[70]· καὶ ἂν ἀκόμα σὲ ἐπιτιμήσω, δὲν ἀγνοεῖς αὐτὸ ποὺ λέγει ὁ Ἀπόστολος «ἔλεγξε, ἐπιτίμησε, παρακάλεσε»[71].

Ποῦ εἶναι ὁ νοῦς σου, νωθρέ; ἢ ποῦ τρέχει ὁ λογισμός σου, ὀκνηρέ; Γιατί οἱ κύριοι τοῦ νοῦ σου ἀντιλέγουν μέσα σου μὲ τοὺς μαθητὲς τοῦ Δεσπότη νὰ μὴ τὸν πάρεις, ὥστε νὰ ἀνεβεῖ ὁ Δεσπότης[72] σ' αὐτοὺς γιὰ νὰ μπεῖ στὰ Ἱεροσόλυμα καὶ νὰ βγάλει ἔξω ἀπὸ τὸ ναὸ τοῦ Θεοῦ αὐτοὺς ποὺ πωλοῦν καὶ ἀγοράζουν[73] καὶ νὰ καταντροπιάσει τοὺς Γραμματεῖς καὶ Φαρισαίους; Γιατί, ἐνῶ ὀφείλεις νὰ κατοικεῖς στὰ Ἱεροσόλυμα, σὲ παρασύρουν στὴ Βαβυλώνα; Γιατί, ἀφήνοντας τὸ νερὸ τοῦ Σιλωάμ[74], θέλεις νὰ πιεῖς ἀπὸ τὰ θολωμένα νερὰ τῶν Αἰγυπτίων; Γιατί παρεκκλίνεις ἀπὸ τὸ δρόμο τῆς ταπεινώσεως ποὺ λέγει, «ἐγὼ ποιός εἶμαι;»[75], καὶ θέλεις νὰ βαδίζεις στὸ δρόμο τὸν διεστραμμένο, ποὺ εἶναι γεμᾶτος θλίψεις καὶ κινδύνους;

Ποῦ ἔβαλες τοὺς λόγους μου ποὺ λέγονταν πρὸς ἐσένα νύχτα καὶ μέρα; Ποῦ εἶναι αὐτὸ ποὺ σοῦ λέγω, τὸ νὰ φθάσεις ἐδῶ ὅπου εἶμαι ἐγώ, καὶ ποῦ βλέπεις ἐσὺ νὰ καταντᾶς; Ποῦ σὲ θέλω νὰ εἶσαι καὶ ποῦ εἶσαι, ἐπειδὴ ἔχεις τὴ γλῶσσα ἀκράτητη καὶ τὴν ἀφήνεις νὰ μιλάει ἀπρόσεκτα; Καὶ ἐὰν δώσεις λογισμὸ στὸν πλησίον, δὲν προσέχεις νὰ τὸν κατανοήσεις μὲ ἀκρίβεια· μάλιστα σ' ἐκεῖνον ποὺ μᾶς προστατεύει μαζὶ μὲ τὸ Θεὸ καὶ ἔθεσε τὸν τράχηλό του γιὰ μᾶς, ὀφείλουμε νὰ τὸν εὐχαριστοῦμε καὶ νὰ εὐχόμαστε νὰ φυλαχθεῖ ἀπὸ κάθε κακὸ γιὰ τὴν δική μας ὠφέλεια καὶ τῶν πολλῶν, πρᾶγμα ποὺ τὸ μάθαμε ἀπὸ τὸν ἅγιο Ἀπόστολο, ὁ ὁποῖος γιὰ νὰ τονίσει τὴν εὐχαριστία του πρὸς

---

72. Λουκᾶ 19,33–35.
73. Ματθ. 21,12.
74. Ἠσ. 8,6.
75. Β' Βασ. 7,18.

τοῦ ἁγίου Ἀποστόλου, πῶς εὐχαριστῶν περί τινων, ἔλεγεν· «οἵτινες ὑπὲρ ἐμοῦ ἔθηκαν τὸν ἑαυτῶν τράχηλον».

Ποίου οὖν οὐ μνημονεύεις; τῆς ἀμεριμνίας, ἧς δι' αὐτοῦ ἔδωκέ σοι ὁ Θεός; ἀλλὰ τοῦ καθίσματος, οὗ μετέχεις ἐν ἡσυχίᾳ ὡς βασιλεύς, καὶ αὐτὸς τὸ βάρος τῶν ἐρχομένων πρὸς ἡμᾶς καὶ ἀπερχομένων βαστάζει, καὶ ἀνενοχλήτους ἡμᾶς ποιεῖ; Εἰ γὰρ δι' ἡμᾶς ἔρχονται, ἡμεῖς ὀφείλομεν βαστάζειν αὐτῶν τὴν μέριμναν, καὶ μὴ αὐτός· ὥστε οὖν πολλὰς χάριτας ἔχω τῷ Θεῷ τῷ δόντι ἡμῖν υἱὸν γνήσιον κατὰ τὴν ψυχὴν ἡμῶν ὡς ἠθέλησε· καὶ ἀντὶ τούτων εἶπας αὐτῷ ἀνοήτως, 'ἔνιψά μου τὰς χεῖρας ἀπὸ σοῦ'· καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, καταποντίζων αὐτοῦ τὴν ψυχὴν ἐν πολλῇ λύπῃ καὶ οὐκ ἐμνημόνευσας τοῦ Ἀποστόλου λέγοντος· «ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος»· καὶ εἰ μὴ ἦν ἡ χεὶρ τοῦ Θεοῦ καὶ ἡ εὐχὴ τῶν Πατέρων αὐτοῦ, σχισθῆναι εἶχεν ἡ καρδία αὐτοῦ.

Ποῦ εἰσιν αἱ ἐντολαί μου αἱ πρὸς σέ; ὅτι κλαῦσον, πένθησον, μὴ ζητήσῃς ψηφισθῆναι, καὶ ἐν μηδενὶ μετρήσῃς σεαυτόν, εἰς ἄλλην ὁδὸν ἑλκύων σου τὴν ἀγάπην; Μετάβηθι ἀπὸ τοῦ κόσμου λοιπόν, ἀνάβηθι εἰς τὸν σταυρόν, κουφίσθητι ἀπὸ τῆς γῆς, ἐκτίναξον τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν σου, καταφρόνησον αἰσχύνης, μὴ συγκαύσῃς μετὰ τῶν Χαλδαίων τὴν κάμινον, ἵνα μὴ συμφλογισθῇς αὐτοῖς τῇ ὀργῇ τοῦ Θεοῦ. Ὑπερέχοντα σεαυτοῦ ἔχε πάντα ἄνθρωπον· κλαῦσον τὸν νεκρόν σου· ἔκβαλε τὴν δοκόν σου· οἰκοδόμησόν σου τὸν διεστραμμένον οἶκον· κράξον, «ἐλέησόν με, υἱὲ Δαβίδ, ἵνα ἀναβλέψω»· μάθε «ἵνα πᾶν στόμα φραγήσεται» καὶ μὴ μεγαλορρημονήσῃς· ἀπόκλεισον τὴν θύραν

---

76. Ρωμ. 16,4.
77. Β' Κορ. 2,7.
78 Ματθ. 10,14.
79. Ἑβρ. 12,2.
80. Δαν. 3,23.
81. Φιλ. 2,3.

κάποιους, ἔλεγε· «οἱ ὁποῖοι ἔθεσαν τὸν τράχηλό τους γιὰ μένα»[76].

Ποιό λοιπὸν εἶναι ἐκεῖνο ποὺ δὲν θυμᾶσαι; τὴν ἀμεριμνησία, ποὺ σοῦ ἔδωσε ὁ Θεὸς μὲ αὐτόν; Μήπως τὸ κάθισμα, στὸ ὁποῖο μετέχεις μὲ ἡσυχία σὰν βασιλιάς, ἐνῶ ὁ ἴδιος βαστάζει τὸ βάρος τῶν ἐρχομένων σὲ μᾶς καὶ τῶν ἀπερχομένων, καὶ μᾶς ἀφήνει ἀνενόχλητους; Διότι, ἐὰν ἔρχονται γιὰ μᾶς, ἐμεῖς ὀφείλουμε νὰ ὑπομένουμε τὴν μέριμνα αὐτῶν καὶ ὄχι ἐκεῖνος. Ὥστε λοιπὸν χρωστῶ πολλὲς χάρες στὸ Θεό, ποὺ μᾶς ἔδωσε, ὅπως αὐτὸς θέλησε, γνήσιο υἱὸ σύμφωνα μὲ τὴν ψυχή μας· καὶ ἀντὶ αὐτῶν τοῦ εἶπες ἀνόητα, 'ἔνιψα τὰ χέρια μου ἀπὸ σένα'· καὶ αὐτὸ ὄχι μία φορά, ἀλλὰ πολλές, καταποντίζοντας τὴν ψυχή του σὲ πολλὴ λύπη. Καὶ δὲν θυμήθηκες τὸν Ἀπόστολο ποὺ λέγει· «γιὰ νὰ μὴ καποθεῖ αὐτὸς ἀπὸ τὴν περισσότερη λύπη»[77]· καὶ ἐὰν δὲν ὑπῆρχε τὸ χέρι τοῦ Θεοῦ καὶ ἡ εὐχὴ τῶν Πατέρων αὐτοῦ, θὰ μποροῦσε νὰ κομματιασθεῖ ἡ καρδιά του.

Ποῦ εἶναι οἱ ἐντολές μου πρὸς ἐσένα, 'κλάψε, πένθησε, μὴ θελήσεις νὰ ἐκφέρεις γνώμη, καὶ νὰ μὴ ἀναμετρήσεις τὸν ἑαυτό σου μὲ κανέναν', μεταφέροντας τὴν ἀγάπη σου σὲ ἄλλο δρόμο; Φύγε λοιπὸν ἀπὸ τὸν κόσμο, ἀνέβα στὸ σταυρό, ἀπαλλάξου ἀπὸ τὴ γῆ, τίναξε τὴ σκόνη ἀπὸ τὰ πόδια σου[78], περιφρόνησε τὴ ντροπή[79], μὴ κάψεις τὴν κάμινο μαζὶ μὲ τοὺς Χαλδαίους, γιὰ νὰ μὴ φλογισθεῖς[80] μαζὶ μ' αὐτοὺς ἀπὸ τὴν ὀργὴ τοῦ Θεοῦ. Θεώρα ἀνώτερό σου[81] κάθε ἄνθρωπο, κλάψε τὸν νεκρό σου, βγάλε τὸ δοκάρι σου[83], οἰκοδόμησε τὸν καταστραμμένο οἶκο σου, φώναξε, «ἐλέησόν με, υἱὲ τοῦ Δαβίδ, γιὰ νὰ δῶ»[84]· μάθε, τὸ «γιὰ νὰ κλείσει κάθε στόμα»[85] καὶ νὰ μὴ μεγαλορρημονήσεις[86]. Κλεῖσε τὴ θύρα σου στὸν ἐχθρό[87], ζύγιζε τὰ λόγια σου καὶ το-

---

82. Ἰω. 11,31.
83. Ματθ. 7,5.
84. Μαρκ. 10,47–51, Λουκᾶ 18,38–41.
85. Ρωμ. 3,19.
86. Ὀβδιοῦ 12.
87. Ἠσ. 26,20.

σου τῷ ἐχθρῷ· στῆσον ἐν τῷ ζυγῷ τοὺς λόγους σου καὶ τῇ θύρᾳ σου μοχλὸν ποίησον. Σὺ οἶδας πῶς λαλῶ σοι.

Νόησον τὰ λεγόμενα, πόνεσον ἀκριβευόμενος αὐτὰ καὶ εὑρήσεις τοὺς ἐν αὐτοῖς καρποὺς ἀξίους τοῦ Θεοῦ καὶ μὴ καταισχύνῃς μου τὰς πολιὰς ὑπερευχομένου σου ἡμέρας καὶ νυκτός. Ὁ Κύριος δώῃ σοι νοῆσαι καὶ ποιῆσαι ἐν τῷ φόβῳ αὐτοῦ. Ἀμήν. Καὶ ἐπειδὴ εἶπας αὐτῷ κατὰ τὸ θέλημά σου ἀφῇ σε ὁ Γέρων ἀπέρχεσθαι· οὐκοῦν ἐγὼ μόνος βαστάζω τὸ κρῖμα, ὃ εἶπεν ὁ Κύριος διὰ τοῦ προφήτου· «ἀμὴν λέγω σοι, ὅτι ἐὰν ἴδῃς τὸν ἀδελφόν σου πορευόμενον ἐν ὁδῷ οὐκ ἀγαθῇ καὶ μὴ εἴπῃς αὐτῷ, ὅτι ἡ ὁδὸς αὕτη κακή ἐστιν, ἐκ τῆς χειρός σου ἀπαιτῶ αὐτοῦ τὸ αἷμα»· μὴ χλευασθῇς, ἀλλὰ πείσθητι τῷ Ἀποστόλῳ, ὅτι λόγον δώσομεν ὑπὲρ αὐτοῦ. Ἀλλ' ὑμεῖς οὐ νοεῖτε τὰ γινόμενα τί ἐστιν.

ΜΘ'

Εὐχαριστήσας τῷ Γέροντι ἐπὶ τῇ διορθώσει,

ᾔτησεν αὐτόν, ὥστε πολλάκις αὐτῷ γράφειν περὶ σωτηρίας ψυχῆς· ὁμοίως δὲ καὶ περὶ λογισμοῦ οὗ ἐζήτει εἰπεῖν τῷ ἀββᾷ ἐδεήθη τοῦ Γέροντος, ἵνα αὐτὸς εἴπῃ αὐτῷ.

Αδελφὲ Ἰωάννη, τί ἐστι τοῦτο οὐκ οἶδα. Ἐγράφοι σοι ἀπὸ τοῦ ἄλφα ἕως τοῦ ὠμέγα· ἀπὸ ἀρχαρίου καταστάσεως μέχρι τελείου, ἀπ' ἀρχῆς τῆς ὁδοῦ μέχρι τοῦ τέλους αὐτῆς, ἀπὸ τοῦ ἐκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις αὐτοῦ, μέχρι τοῦ ἐνδύσασθαι τὸν νέον τὸν κατὰ

---

88. Σοφία Σειρὰχ 28,25.

ποθέτησε στὴ θύρα σου μοχλό[88]. Ἐσὺ γνωρίζεις, μὲ ποιό νόημα σοῦ τὰ λέγω.

Σκέψου βαθιὰ τὰ λεγόμενα, κόπιασε νὰ τὰ ἐξετάσεις μὲ προσοχή, καὶ θὰ βρεῖς τοὺς καρποὺς ποὺ εἶναι σ' αὐτὰ ἀντάξιους τοῦ Θεοῦ καὶ μὴ ντροπιάζεις τὰ ἄσπρα μαλλιά μου ποὺ προσεύχομαι γιὰ σένα ἡμέρα καὶ νύχτα. Εἴθε ὁ Κύριος νὰ σοῦ δώσει νὰ κατανοήσεις καὶ νὰ ἐνεργήσεις μὲ τὸ φόβο αὐτοῦ. Γένοιτο. Καὶ ἐπειδὴ εἶπες σ' αὐτόν, νὰ σ' ἀφήσει ὁ Γέροντας, κατὰ τὸ θέλημά σου, νὰ φύγεις, ἐγὼ λοιπὸν μόνος βαστάζω τὸ κρίμα, τὸ ὁποῖο εἶπε ὁ Κύριος μὲ τὸν Προφήτη· «ἀλήθεια σοῦ λέγω, ὅτι, ἐὰν δεῖς τὸν ἀδελφό σου νὰ βαδίζει σὲ δρόμο ὄχι καλό, καὶ δὲν τοῦ πεῖς ὅτι ὁ δρόμος αὐτὸς εἶναι κακός, ἀπαιτῶ τὸ αἷμα του ἀπὸ τὸ χέρι σου»[89]. Μὴ περιγελάσεις, ἀλλὰ πίστεψε στὸν Ἀπόστολο, διότι θὰ δώσουμε λόγο[90] γι' αὐτό. Ἀλλὰ ἐσεῖς δὲν καταλαβαίνετε τί σημαίνουν αὐτὰ ποὺ γίνονται.

49

Ἀφοῦ εὐχαρίστησε τὸν Γέροντα γιὰ τὴ συμβουλή,

τὸν παρακάλεσε νὰ τοῦ γράφει πολλὲς φορὲς γιὰ τὴ σωτηρία τῆς ψυχῆς· ἐπίσης καὶ γιὰ τὸν λογισμό, τὸν ὁποῖο ἤθελε νὰ πεῖ στὸν Ἀββᾶ, παρακάλεσε τὸν Γέροντα νὰ τὸν πεῖ αὐτὸς σ' αὐτόν.

Ἀδελφὲ Ἰωάννη, δὲν γνωρίζω τί εἶναι αὐτό. Σοῦ γράφηκε ἀπὸ τὸ ἄλφα ὣς τὸ ὠμέγα, ἀπὸ τὴν ἀρχάρια μέχρι τὴν τέλεια κατάσταση, ἀπὸ τὴν ἀρχὴ τοῦ δρόμου μέχρι τὸ τέλος του· ἀπὸ τὸ νὰ ἀποδυθεῖς τὸν παλαιὸ ἄνθρωπο μὲ τὶς ἐπιθυμίες του[91], μέχρι τοῦ νὰ ντυθεῖς τὸν νέο ποὺ κτίσθηκε σύμ-

89. Ἰεζ. 3,18.
90. Ἑβρ. 13,17.
91. Κολ. 3,10, Ἐφ. 4,22.

Θεὸν κτισθέντα· ἀπὸ τοῦ γενέσθαι τῆς γῆς ἀλλότριον τῆς αἰσθητῆς, γενέσθαι δὲ οὐρανοπολίτην καὶ κληρονόμον τῆς νοητῆς γῆς τῶν Ἐπαγγελιῶν.

Μηρύκησον εἰς τὰς Ἐπιστολὰς καὶ σώζῃ· ἔχεις γὰρ ἐν αὐταῖς, ἐὰν συνιῇς, τὴν Παλαιὰν καὶ τὴν Καινήν· καὶ νοῶν αὐτάς, οὐ χρείαν ἔχεις ἄλλου βιβλίου. Ἐκτίναξαι τὴν λήθην καὶ ἀπόστα τοῦ σκότους, ἵνα εἰρηνεύσῃ ἡ καρδία σου μετὰ τῶν αἰσθητηρίων σου, καὶ ταῦτα πάντα ἔρχονταί σοι. Ἐκλείψει σοι καπνὸς τῶν εἰδωλοθύτων ἀπὸ τῆς νοητῆς Νινευΐ σου· καὶ σκορπισθήσεται ἐν ταῖς πλατείαις αὐτῆς ὀσμὴ τοῦ θυμιάματος τῆς πνευματικῆς μετανοίας, καὶ κωλύει τὴν ἀπειλοῦσαν αὐτῇ ἀπειλὴν εἰς καταστροφήν.

Ποῦ κοιμᾶσαι; τί προσκεφάλαια ἔβαλες τὰς ἀποκρίσεις τὰς πρὸς σωτηρίαν, οὐ μὴν δέ, ἀλλὰ καὶ πρὸς σωτηρίαν τῶν μετὰ πίστεως ἐγκυπτόντων; Παῦσαι τῶν ὀνείρων λοιπόν· ἐξυπνίσθητι ἀπὸ τοῦ βαρυτάτου ὕπνου· γόργευσον τοὺς πόδας· κατάλαβε τὴν Σιγώρ, ἵνα μὴ καταλάβῃ σε ἡ καταστροφὴ τῶν πέντε πόλεων, καὶ μὴ στραφῇς εἰς τὰ ὀπίσω, διὰ τὸ μὴ γενέσθαί σε στήλην ἁλός· καὶ γενοῦ φρόνιμος ὡς ὁ ὄφις, ἵνα μὴ πλανήσωσί σε οἱ ἐχθροί σου· ἀκέραιος δὲ ὡς αἱ περιστεραί, ἵνα μὴ πολεμήσῃ σε ἡ ἀνταπόδοσις. Γενοῦ δοῦλος γνήσιος δεσπότου, ἐπεὶ δουλωθῆναι ἔχεις πολλοῖς· μὴ χωρίσῃς σεαυτὸν ἀπ' αὐτοῦ· ὁ ἄπιστος γὰρ ἔλαβε περὶ τούτου τὴν ἀπόφασιν. Βλέπε πῶς καθέζῃ· εἰπέ σεαυτῷ, 'τί κάθημαι οὕτω; τί ἐκέρδανα ἀπὸ τοῦ καθίσματος τούτου;' καὶ ὁ Θεὸς ὁ φιλάνθρωπος φωτίζει σου τὴν καρδίαν τοῦ συνιέναι. Ἰδοὺ τέως ἐποίησέ σε ἀμέριμνον ἀπὸ πάσης φροντίδος γηΐνης· πρόσεχε σεαυτῷ ποῦ εἶ καὶ τί θέλεις, καὶ ὁ Θεὸς συναντιλαμβάνεταί σοι εἰς πάντα, ἀδελφέ μου.

---

92. Ἐφ. 4,24.
93. Ἰωνᾶς κ. 3.
94. Γεν. 3,1.

φωνα μὲ τὸ Θεό[92]· ἀπὸ τὸ νὰ γίνεις ξένος πρὸς τὴν αἰσθητὴ γῆ, καὶ νὰ γίνεις οὐρανοπολίτης καὶ κληρονόμος τῆς νοητῆς γῆς τῶν Ἐπαγγελιῶν.

Μελέτησε στὶς Ἐπιστολὲς καὶ θὰ σωθεῖς· διότι ἔχεις σ' αὐτές, ἐὰν τὸ κατανοεῖς, τὴν Παλαιὰ καὶ τὴν Καινὴ Διαθήκη, καὶ ἐὰν κατανοήσεις αὐτές, δὲν ἔχεις ἀνάγκη ἄλλου βιβλίου. Διῶξε τὴ λησμονιὰ καὶ ἀπομακρύνσου ἀπὸ τὸ σκοτάδι, γιὰ νὰ εἰρηνεύσει ἡ καρδιά σου μαζὶ μὲ τὰ αἰσθητήριά σου, καὶ ὅλα αὐτὰ θὰ ἔλθουν σὲ σένα. Θὰ ἐκλείψει ἀπὸ ἐσένα ὁ καπνὸς τῶν εἰδωλοθύτων ἀπὸ τὴν νοητὴ Νινευί σου, καὶ θὰ σκορπισθεῖ στὶς πλατεῖες της ἡ μυρωδιὰ τοῦ θυμιάματος τῆς πνευματικῆς μετάνοιας καὶ θὰ ἐμποδίσει τὸν κίνδυνο ποὺ τὴν ἀπειλεῖ γιὰ καταστροφή[93].

Ποῦ κοιμᾶσαι; Γιατί ἔβαλες μαξιλάρια τὶς ἀπαντήσεις γιὰ σωτηρία καὶ ὄχι μόνο, ἀλλὰ καὶ γιὰ σωτηρία ἐκείνων ποὺ μελετοῦν αὐτὲς μὲ πίστη; Σταμάτησε πλέον τὰ ὄνειρα· ξύπνησε ἀπὸ τὸν βαρύτατο ὕπνο· γίνε γρήγορος στὰ πόδια· φθάσε στὴν Σιγώρ, γιὰ νὰ μὴ σὲ προφθάσει ἡ καταστροφὴ τῶν πέντε πόλεων[94], καὶ μὴ στραφεῖς πρὸς τὰ πίσω, γιὰ νὰ μὴ γίνεις στήλη ἅλατος[95]· καὶ γίνε φρόνιμος ὅπως τὸ φίδι[96], γιὰ νὰ μὴ σὲ πλανήσουν οἱ ἐχθροί σου, καὶ ἀκέραιος ὅπως τὰ περιστέρια[97], γιὰ νὰ μὴ σὲ πολεμήσει ἡ ἀνταπόδοση. Γίνε γνήσιος δοῦλος τοῦ Δεσπότη, ἐπειδὴ μπορεῖς νὰ ὑποδουλωθεῖς σὲ πολλούς. Μὴ χωρίσεις τὸν ἑαυτό σου ἀπὸ αὐτόν· διότι ὁ ἄπιστος πῆρε τὴν ἀπόφαση αὐτή. Πρόσεχε πῶς κάθεσαι· πὲς στὸν ἑαυτό σου, 'γιατί κάθομαι ἔτσι; τί κέρδισα ἀπὸ αὐτὸ τὸ κάθισμα; καὶ ὁ φιλάνθρωπος Θεὸς θὰ φωτίσει τὴν καρδιά σου νὰ καταλάβει. Νά, ἀπὸ τὴν ἀρχὴ σὲ ἔκανε ἀμέριμνο ἀπὸ κάθε γήϊνη φροντίδα. Πρόσεχε τὸν ἑαυτό σου ποῦ εἶσαι καὶ τί θέλεις, καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει σὲ ὅλα, ἀδελφέ μου.

---

95. Γεν. 19,26.
96. Ματθ. 10,16.
97. Ματθ. 10,16.

Καὶ περὶ οὗ εἶπας λογισμοῦ εἰπεῖν τῷ υἱῷ μου, ἠδυνάμην μὲν εἰπεῖν αὐτῷ, ἀλλ' ἐὰν σὺ μὴ εἴπῃς αὐτῷ ἰδίῳ στόματι, ἀλλοτριοῖς σαυτὸν τῆς πρὸς αὐτὸν τελείας καὶ γνησίας ἀγάπης. Εἰ ψυχὴ μία, καὶ καρδία ἐστὲ μία, κατὰ τὴν Γραφήν, καὶ οὐδεὶς κρύπτει ἀπὸ τῆς καρδίας αὐτοῦ τίποτε.

Συνετίσθητι ὁ ἀκμὴν βαρυκάρδιος· ὁ Κύριος συγχωρήσοι σοι.

Ν'

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς αὐτὸν ἐρωτήσαντα, εἰ ὀφείλει ἐκ τῆς ἁγίας Μεγάλης Ἑβδομάδος μηκέτι συντυχεῖν τινι.

Μετὰ τὴν ἑορτήν, ἡσύχασον πέντε ἡμέρας τὴν ἑβδομάδα, καὶ δύο ἡμέρας ἐντύγχανε ἀνάγκης γινομένης. Καὶ πάλιν λέγω σοί τι ἵνα ποιήσῃς. Ποίησον τὴν δύναμίν σου ἀμεριμνῆσαι ἀπὸ παντὸς πράγματος· ὁ Θεὸς γὰρ ποιεῖ πρόνοιαν παντὸς ἀνθρώπου πρὸς τὸ συμφέρον· εἴτε κατανύσσει τὴν καρδίαν αὐτοῦ, εἴτε ἐξυπνίζει αὐτὸν δι' ἄλλου πρὸς ὠφέλειαν.

ΝΑ'

Μετὰ τὴν ἑορτὴν ἐλθών τις Ἐπίσκοπος ἐζήτει συντυχεῖν αὐτῷ· καί τινες δὲ ἄλλοι ἀρχάριοι ἐβούλοντο αὐτὸν ἐρωτῆσαι περὶ λογισμῶν· καὶ ἔπεμψε περὶ τούτου, τὸν αὐτὸν ἐρωτῶν μέγαν Γέροντα.

Οἶδας, ὅτι οὐδέποτε ἐβάλλομεν δεσμὸν ἐπάνω τινός, οὐδὲ ἑαυτοῖς. Καὶ ἐπειδὴ εἶπόν σοι, 'ἡσύχασον πέντε ἡμέρας εἰς τὴν ἑβδομάδα καὶ δύο ἡμέρας συντύχαινε', ἀμερίμνησον καὶ ἐκ τούτου· καὶ ὅτε λέγω σε συντύγχανε, καὶ ὅτε συντυγχάνεις, ἀμερίμνησον τί εἴπῃς, καὶ τί λαλήσῃς. Ὁ Χρι-

Ὅσο γιὰ τὸν λογισμὸ ποὺ εἶπες νὰ τὸν πῶ στὸν υἱό μου, μποροῦσα βέβαια νὰ τοῦ τὸν πῶ, ἀλλὰ ἐὰν ἐσὺ δὲν τοῦ τὸν πεῖς μὲ τὸ ἴδιο σου τὸ στόμα, θὰ ἀποξενώσεις τὸν ἑαυτό σου ἀπὸ τὴν τέλεια καὶ γνήσια ἀγάπη πρὸς αὐτόν. Ἐὰν ἡ ψυχὴ εἶναι μία καὶ ἡ καρδιὰ νὰ εἶναι μία, σύμφωνα μὲ τὴ Γραφή, καὶ κανένας δὲν κρύβει ἀπὸ τὴν καρδιά του τίποτα.

Δείξε σύνεση, ἐσὺ ποὺ ἔχεις ἀκόμα βαρειὰ καρδιά· ὁ Κύριος νὰ σὲ συγχωρήσει.

50

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ τὸν ἐρώτησε, ἐὰν ὀφείλει ἐξαιτίας τῆς ἅγιας Μεγάλης Ἑβδομάδας νὰ μὴ συναντήσει κανένα.

Μετὰ τὴν ἑορτὴ ἡσύχασε πέντε ἡμέρες τὴν βδομάδα καὶ δύο μέρες νὰ συναντᾶς κάποιους, ἂν ὑπάρχει ἀνάγκη. Καὶ πάλι σοῦ λέγω νὰ κάνεις κάτι. Προσπάθησε νὰ ἀμεριμνήσεις γιὰ κάθε πρᾶγμα· διότι ὁ Θεὸς προνοεῖ γιὰ κάθε ἄνθρωπο πρὸς τὸ συμφέρον· εἴτε ὁδηγεῖ τὴν καρδιά του σὲ κατάνυξη, εἴτε τὸν ἀφυπνίζει μὲ ἄλλον πρὸς ὠφέλεια.

51

Μετὰ τὴν ἑορτή, ἦλθε κάποιος ἐπίσκοπος καὶ ζήτησε νὰ τὸν συναντήσει· μερικοὶ ἄλλοι τότε ἀρχάριοι ἤθελαν νὰ τὸν ἐρωτήσουν γιὰ τοὺς λογισμούς· καὶ ἔστειλε γιὰ νὰ ἐρωτήσει τὸν ἴδιο μεγάλο Γέροντα σχετικὰ μ' αὐτό.

Γνωρίζεις, ὅτι ποτὲ δὲν βάλαμε δεσμὸ πάνω σὲ κάποιον, οὔτε στοὺς ἑαυτούς μας. Καὶ ἐφόσον σοῦ εἶπα νὰ ἡσυχάζεις πέντε ἡμέρες τὴν ἑβδομάδα καὶ δύο ἡμέρες νὰ συναντᾶς ἀνθρώπους, μὴ μεριμνήσεις καὶ γι' αὐτό· καὶ ὅταν σοῦ λέγω νὰ συναντᾶς, καὶ ὅταν συναντᾶς, μὴ μεριμνήσεις γιὰ τὸ τί

στὸς γὰρ εἶπεν, ὅτι «τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν».

Περὶ δὲ ὧν εἶπας ἀδελφῶν, ἀνάγκης γινομένης μὴ παραιτήσῃς, καὶ ὁ Θεὸς βοηθεῖ. Ἀμήν.

ΝΒ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, λαλοῦντα περὶ τῆς ἀκαταστασίας τοῦ κόσμου.*

Αδελφέ, ὡς ἔχομεν τὸν καιρόν, προσέχωμεν ἑαυτοῖς, ὅτι τετάρακται τὰ σύμπαντα, καὶ ἀσκήσωμεν τὸ σιωπᾶν, καὶ ἐὰν θέλῃς ἀναπαυῆναι κατὰ πάντα, γενοῦ νεκρὸς ἀπὸ παντὸς ἀνθρώπου καὶ ἀναπαύῃ. Νόησον ὅτι περὶ τῶν λογισμῶν καὶ περὶ παντὸς πράγματος καὶ διαγωγῆς καὶ φροντίδος λέγω σοι, ἡσύχασον ἐν εἰρήνῃ.

ΝΓ'

Μετὰ τὴν ἀπόκρισιν ταύτην ἐζήτει κόψαι τελείως τὰς συντυχίας· καὶ εἷς ἀδελφὸς πάνυ διὰ τοῦτο ἐθλίβετο· καὶ παρεκάλει αὐτὸν ἵνα, εἰ χρεία γένηται, συντύχῃ αὐτῷ, καὶ σπλαγχνισθεὶς ὑπέσχετο· καὶ ἠρώτησε περὶ τούτου καὶ περὶ κολοβίου, πεμφθέντος αὐτῷ παρά τινος ἀδελφοῦ, εἰ ὀφείλει δέξασθαι.

Αδελφέ, ἔπεμψά σοι λόγον 'ἀμερίμνησον'· τί θέλεις σεαυτῷ πρόσχες, πολύς ἐστιν ὁ θερισμός· μὴ ἀφήσῃς αὐτὸν καὶ βάλῃς καλαμᾶσθαι ῥάγας ὀπίσω τῶν τρυγητῶν. Σὺ δὲ ἄφες ὅλα καὶ σχόλασον τοῦ θερίσαι καὶ τρυγῆσαι, ἵνα ἔχῃς τοὺς καρποὺς ἀπὸ σίτου καὶ οἴνου, ἵνα στερεωθῇ καὶ

---

98. Ματθ. 10,20.
99. Γαλ. 6,10.

θὰ πεῖς καὶ τί θὰ μιλήσεις. Διότι ὁ Χριστὸς εἶπε, ὅτι «τὸ Πνεῦμα τοῦ Πατρός μας εἶναι αὐτὸ ποὺ ὁμιλεῖ μέσα μας»[98].

Ὅσο γιὰ τοὺς ἀδελφοὺς ποὺ εἶπες, ἂν παραστεῖ ἀνάγκη, μὴ τὸ ἀρνηθεῖς σ' αὐτούς, καὶ ὁ Θεὸς βοηθεῖ. Γένοιτο.

52

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ μιλοῦσε γιὰ τὴν ἀκαταστασία τοῦ κόσμου.

Ἀδελφέ, ὅσο ἔχουμε τὸν καιρό[99], ἂς προσέχουμε τοὺς ἑαυτούς μας, ἐπειδὴ ἔχουν ταραχθεῖ τὰ σύμπαντα, καὶ ἂς ἀσκήσουμε τὴ σιωπή. Καὶ ἐὰν θέλεις νὰ ἀναπαυθεῖς ἀπ' ὅλα, γίνε νεκρὸς ἀπὸ κάθε ἄνθρωπο καὶ θὰ ἀναπαυθεῖς. Κατάλαβε ὅτι σοῦ λέγω γιὰ τοὺς λογισμοὺς καὶ γιὰ κάθε πρᾶγμα καὶ διαγωγὴ καὶ φροντίδα, καὶ ἡσύχαζε μὲ εἰρήνη.

53

Μετὰ ἀπὸ αὐτὴν τὴν ἀπάντηση ζητοῦσε νὰ κόψει τελείως τὶς συναντήσεις, καὶ ἕνας ἀδελφὸς στενοχωριόταν πολὺ γι' αὐτό· τὸν παρακαλοῦσε νὰ τὸν συναντήσει ἐπειδὴ ὑπῆρχε ἀνάγκη, καὶ ἐπειδὴ τὸν λυπήθηκε, τοῦ ὑποσχέθηκε· καὶ ἐρώτησε γι' αὐτὸ καὶ γιὰ τὸ κολόβιο ποὺ τοῦ στάλθηκε ἀπὸ κάποιον ἀδελφό, ἐὰν πρέπει νὰ τὸ δεχθεῖ.

Ἀδελφέ, σοῦ ἔστειλα λόγο νὰ ἀμεριμνήσεις. Τί θέλεις· πρόσεχε τὸν ἑαυτό σου· εἶναι πολὺς ὁ θερισμός[1]· μὴ ἀφήσεις αὐτὸν καὶ ἀρχίσεις νὰ μαζεύεις ράγες πίσω ἀπὸ τοὺς τρυγητές[1α]. Ἄφησέ τα ἐσὺ ὅλα καὶ ἀσχολήσου μὲ τὸν θερισμὸ καὶ τὸν τρύγο, γιὰ νὰ ἔχεις τοὺς καρποὺς ἀπὸ σιτάρι καὶ κρασί[2], ὥστε νὰ στερεωθεῖ καὶ νὰ εὐφρανθεῖ ἡ καρδιά σου

1. Ματθ. 9,37.
1α. Σοφία Σειρὰχ 33,16.

εὐφρανθῇ ἡ καρδία σου ἐν Κυρίῳ· μελέτησον τὰς ἐπιστολὰς ἃς ἔγραψά σοι, ὅτι ἀργαὶ οὐκ εἰσι.

Περὶ δὲ τοῦ κολοβίου, ἐὰν θέλῃ ὁ ἀδελφὸς δοῦναί σοι ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, δέξαι, κατακρίων σεαυτὸν ὡς ἀνάξιον.

ΝΔ'

Ἀδελφὸς ἔχων πόλεμον βαρύτατον καὶ αἰσχυνόμενος αὐτὸν θαρρῆσαι τῷ Ἀββᾷ, ἔπεμψε παρακαλῶν τὸν αὐτὸν ἀββᾶν Ἰωάννην δέξασθαι αὐτὸν λάθρᾳ τοῦ Ἀββᾶ καὶ ἀκοῦσαι τὸν λογισμὸν αὐτοῦ· ὁ δὲ ἐθλίβετο κατὰ δύο τρόπους· μήτε θέλων δέξασθαι αὐτὸν δίχα γνώμης, ἵνα μὴ σκάνδαλον παρέχῃ τοῖς ἄλλοις, μήτε πάλιν θέλων λυπῆσαι αὐτόν· καὶ ἀπορῶν τί ποιῆσαι, ἠρώτησε κατὰ διάνοιαν τὸν αὐτὸν μέγαν Γέροντα, καὶ εἰ δεῖ φράξαι τὴν αὐτοῦ θύραν.

Εἰπὲ τῷ ἀδελφῷ· τίς ἐστιν ἀσύνετος τοῦ ἐπιλέξασθαι ἑαυτῷ τὸ ἐπιζήμιον πρᾶγμα καὶ τὸ θλιβερώτερον, καὶ μὴ τὸ κουφότερον καὶ ἀνεκτότερον, μετὰ ταπεινώσεως καὶ προσευχῆς; Μὴ φράξῃς τὴν θύραν· οὐ γὰρ ἐν τῇ φράξει τῆς θύρας ἐστὶν ἡ νέκρωσις, ἀλλ' ἐν τῇ φράξει τοῦ στόματος.

Ἀσπάζομαί σε ἐν φιλήματι ἁγίῳ.

ΝΕ'

Γέρων τις Αἰγύπτιος ἐλθὼν οἰκῆσαι ἐν τῷ Μοναστηρίῳ, ἔνθα ὁ Πατέρες ἦσαν, γράμμασιν ἐχρήσατο αἰγυπτιστὶ γεγραμμένοις πρὸς τὸν μέγαν Γέροντα (ἦν γὰρ καὶ αὐτὸς Αἰγύπτιος), αἰτῶν εὐχὴν καὶ λόγον περὶ ὠφελείας ψυχῆς καὶ εἰ

---

2. Ψαλμ. 4,7.
3. Α' Βασ. 2,1.

ἐν Κυρίῳ[3]. Μελέτησε τὶς ἐπιστολὲς ποὺ σοῦ ἔγραψα, διότι δὲν εἶναι ἄχρηστες.

Γιὰ τὸ κολόβιο, ἐὰν θέλει ὁ ἀδελφὸς νὰ σοῦ τὸ δώσει μὲ ὅλη τὴν καρδιά του, νὰ τὸ δεχθεῖς, κατακρίνοντας τὸν ἑαυτό του σὰν ἀνάξιο.

54

Κάποιος ἀδελφός, ποὺ εἶχε βαρύτατο πόλεμο καὶ ντρεπόταν νὰ τὸν ἐμπιστευθεῖ στὸν Ἀββᾶ[4], ἔστειλε νὰ παρακαλέσει τὸν ἴδιο Ἀββᾶ Ἰωάννη νὰ τὸν δεχθεῖ κρυφὰ ἀπὸ τὸν ἀββᾶ καὶ νὰ ἀκούσει τὸν λογισμό του· καὶ αὐτὸς στενοχωριόταν μὲ δύο τρόπους· οὔτε ἤθελε νὰ τὸν δεχθεῖ χωρὶς γνώμη, γιὰ νὰ μὴ σκανδαλίσει τοὺς ἄλλους, οὔτε πάλι ἤθελε νὰ τὸν λυπήσει· καὶ ἐπειδὴ δὲν ἤξερε τί νὰ κάνει, ἐρώτησε κατὰ διάνοια τὸν ἴδιο μεγάλο Γέροντα καὶ ἐὰν πρέπει νὰ κλείσει τὴ θύρα του.

Πὲς στὸν ἀδελφό· ποιός εἶναι ἀσύνετος, ὥστε νὰ διαλέξει γιὰ τὸν ἑαυτό του μὲ ταπείνωση καὶ προσευχὴ τὸ ἐπιζήμιο πρᾶγμα καὶ τὸ θλιβερώτερο καὶ ὄχι τὸ ἐλαφρότερο καὶ ἀνεκτότερο; Μὴ κλείσεις τὴ θύρα· διότι ἡ νέκρωση δὲν βρίσκεται στὸ κλείσιμο τῆς θύρας, ἀλλὰ στὸ κλείσιμο τοῦ στόματος.

Σὲ ἀσπάζομαι μὲ ἅγιο φίλημα[5].

55

Κάποιος Αἰγύπτιος γέροντας ποὺ ἦλθε νὰ κατοικήσει στὸ Μοναστήρι ὅπου ἦταν οἱ Πατέρες, ἔγραψε γράμματα στὸν μεγάλο Γέροντα στὰ αἰγυπτιακὰ (διότι ἦταν καὶ αὐτὸς Αἰγύπτιος), ζητώντας εὐχὴ καὶ λόγο γιὰ ὠφέλεια τῆς ψυχῆς,

---

4. Στὸν ἀββᾶ Σέριδο.
5. Ρωμ. 16,16, Α΄ Κορ. 16,20.

δυνατὸν ἀξιωθῆναι τῆς αὐτοῦ συντυχίας· ὁ δὲ ἑλληνιστὶ τὴν ἀπόκρισιν ἔγραψεν, ἔχουσαν οὕτως.

Επειδὴ ἔταξα ἐμαυτὸν τοῦ μὴ γράψαι τινί, ἀλλὰ διὰ τοῦ ἀββᾶ πέμπειν τὴν ἀπόκρισιν, διὰ τοῦτο οὐκ ἔγραψά σοι αἰγυπτιστί, ἀλλ' ἠναγκάσθην ἑλληνιστὶ εἰπεῖν αὐτῷ γράψαι σοι· οὐ γὰρ ἐπίσταται αἰγυπτιστὶ λέγειν. Εἰ ἀγαπητόν σου καὶ πατέρα ἐν Κυρίῳ ἔταξάς με ἐν τοῖς σοῖς γράμμασιν ἐπιστάμενον τὸν κάματον καὶ τὰς ἀνάγκας καὶ τὸν κίνδυνον τῆς ψυχῆς, ἢ πατήρ σού εἰμι ὡς ἔγραψας, ἐντολήν σοι δίδωμι μὴ ὀχλήσῃς μοι περὶ συντυχίας· οὐ γὰρ ποιῶ διαφορὰν ἀνθρώπου καὶ ζῶ. Ἀλλ' ἐὰν ἀνοίξω σοί, καὶ πᾶσι, καὶ ἐὰν μὴ σοί, οὐδ' ἄλλῳ τινί. Τοῦτο δέ σοι ἔγραψα, ἐπειδὴ ἔγραψας λέγων· 'ποίησόν με ἄξιον τῆς σῆς πρᾳότητος, καὶ ποίησον ἔλεος μετὰ τῆς ψυχῆς μου τῆς ταλαιπώρου'. Καὶ πάλιν ὅτι εἶπας ἐν αὐτῇ τῇ ἐπιστολῇ, ὅτι 'ἡ ἁμαρτία μου ἀφώρισέ με ἀπὸ σοῦ τοῦ δεσπότου μου', ἐγὼ τέως χάριτι Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὐκ ἀφωρίσθην ἀπὸ σοῦ, ἀλλὰ μετὰ τῆς ἀγάπης σού εἰμι ἀεὶ ἐν τῷ πνεύματι.

Καὶ τὸ ὕστερον γράψαι μοι ἐν τῷ αὐτῷ γράμματι, ὅτι 'εὖξαι ὑπὲρ τῶν ἁμαρτιῶν μου', κἀγώ σοι τὸ αὐτὸ λέγω· 'εὖξαι ὑπὲρ τῶν ἁμαρτιῶν μου'· φησὶ γάρ· «καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς»· ἐγὼ τέως κᾂν ταλαίπωρος καὶ ἐλαχιστότερός εἰμι πάντων ἀνθρώπων, ἀλλὰ ποιῶ τὴν δύναμίν μου διὰ τὸν λέγοντα, «εὔξασθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε».

Ἀδελφέ, ξένοι ἐσμέν, ξένοι γεννώμεθα· καὶ μὴ μετρήσωμεν ἑαυτοὺς ἔν τινι, καὶ οὐδεὶς ἡμᾶς ψηφίζει καὶ ἀναπαυόμεθα. Εἰσελθὼν δὲ πρὸς ἡμᾶς, πύκτευσον τοῦ ὑπομεῖναι· φησὶ γάρ, «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Ἐπὶ πᾶσι δὲ ἀγώνισαι

6. Ματθ. 7,12.
7. Ἰακ. 5,16.

καὶ ἐὰν ἦταν δυνατὸν νὰ ἀξιωθεῖ νὰ τὸν συναντήσει· καὶ ἐκεῖνος ἔγραψε στὰ ἑλληνικὰ τὴν ἀπάντηση ποὺ ἔχει ὡς ἑξῆς.

Ἐπειδὴ ἔταξα στὸν ἑαυτό μου νὰ μὴ γράψω μὲ τὸ χέρι μου σὲ κανένα, ἀλλὰ νὰ στέλνω τὴν ἀπάντηση μὲ τὸν Ἀββᾶ, γι' αὐτὸ δὲν σοῦ ἔγραψα στὰ Αἰγυπτιακά, ἀλλὰ ἀναγκάσθηκε νὰ τοῦ πῶ νὰ σοῦ γράψει στὰ ἑλληνικά· διότι αὐτὸς δὲν γνωρίζει νὰ μιλᾶ αἰγυπτιακά. Ἐὰν μὲ ὀνόμασες στὰ γράμματά σου ἀγαπητό σου καὶ πατέρα ἐν Κυρίω ποὺ γνωρίζω τὴν κούραση καὶ τὶς ἀνάγκες καὶ τὸν κίνδυνο τῆς ψυχῆς, ἢ εἶμαι πατέρας σου, ὅπως ἔγραψες, καὶ σοῦ δίνω ἐντολὴ νὰ μὴ μὲ ἐνοχλήσεις γιὰ συνάντηση· διότι ζῶ χωρὶς νὰ κάνω διάκριση ἀνθρώπων. Ἔτσι, ἐὰν ἀνοίξω σὲ σένα, θὰ ἀνοίξω σὲ ὅλους, καὶ ἐὰν ὄχι σὲ σένα, οὔτε σὲ κανέναν ἄλλο. Καὶ αὐτὸ σοῦ τὸ ἔγραψα, ἐπειδὴ ἔγραψες λέγοντας· 'κάνε με ἄξιο τῆς πραότητάς σου καὶ εὐσπλαχνίσου τὴν ταλαίπωρη ψυχή μου'. Καὶ πάλι, ἐπειδὴ εἶπες σ' αὐτὴν τὴν ἐπιστολή, ὅτι 'ἡ ἁμαρτία μου μὲ χώρισε ἀπὸ σένα τὸν δεσπότη μου', ἐγὼ μέχρι τώρα μὲ τὴ χάρη τοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, δὲ χωρίσθηκα ἀπὸ σένα, ἀλλὰ εἶμαι πάντοτε μὲ τὴν ἀγάπη σου κατὰ τὸ πνεῦμα.

Καὶ αὐτὸ ποὺ στὴ συνέχεια μοῦ ἔγραψες στὸ ἴδιο γράμμα, 'προσευχήσου γιὰ τὶς ἁμαρτίες μου', καὶ ἐγὼ σοῦ λέγω τὸ ἴδιο· προσευχήσου γιὰ τὶς ἁμαρτίες μου· διότι λέγει, «ὅπως θέλετε νὰ κάνουν σὲ σᾶς οἱ ἄνθρωποι, τὸ ἴδιο καὶ ἐσεῖς νὰ κάνετε σ' αὐτούς»[6]. Ἐγὼ μέχρι τώρα ἂν καὶ εἶμαι ταλαίπωρος καὶ μικρότερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὅμως κάνω ὅ,τι εἶναι δυνατὸ ἐξαιτίας ἐκείνου ποὺ λέγει, «νὰ προσεύχεσθε ὁ ἕνας γιὰ τὸν ἄλλο, γιὰ νὰ θεραπευθεῖτε»[7].

Ἀδελφέ, εἴμαστε ξένοι, γεννηθήκαμε ξένοι· ἂς μὴ θεωροῦμε τοὺς ἑαυτούς μας κάτι καὶ ἂς μὴ μᾶς ὑπολογίζει κανένας, καὶ τότε θὰ ἀναπαυόμαστε. Ὅταν ἔρθεις κοντά μας, ἀγωνίσου νὰ δείξεις ὑπομονή· διότι, λέγει «ἐκεῖνος ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[8]. Ἀγωνίσου σὲ ὅλα ὥστε νὰ

8. Ματθ. 24,13.

τοῦ ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου καὶ σωθήσῃ. Και εἰπὲ τῷ λογισμῷ, 'ἀπέθανον, καὶ ἐν τῷ τάφῳ κεῖμαι'.

Πείσθητί μοι, ἀγαπητέ· ὅτι ἀναγκαζόμενος ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ ὑπερέβην μου τὰ μέτρα τοῦ εἰπεῖν ταῦτα πρὸς τὴν ἀγάπην σου· τίς γάρ εἰμι ὁ ἐλάχιστος; Διὰ τοῦτο αἰτῶν συγχώρησιν λέγω· συγχώρησόν μοι τῷ φλυάρῳ διὰ τὸν Κύριον· καὶ εὖξαι ὑπὲρ ἐμοῦ, δοῦλε τοῦ Θεοῦ Ἀβραάμ.

ΝS'

Τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν ἀββᾶν Παῦλον γέροντα, ἡσυχάζοντα αὐτῷ τινα ἀδελφὸν τυφλὸν προσλαβέσθαι καὶ ὑπηρετεῖν αὐτῷ.

Αδελφὲ Παῦλε, ἔστι παροιμία λέγουσα· 'εἶδες νεώτερον τρέχοντα; μάθε, ὅτι γέρων αὐτὸν ἐδελέασε'· παρ' ἡμῖν οὖν ὁ δελεάζων ἡμᾶς, ὁ γέρων ὁ σατανᾶς ἐστι· καὶ φθονῶν θέλει ἡμᾶς βαλεῖν εἰς κακὰς ἡμέρας προφάσει δικαιώματος. Καὶ οὐκ οἴδαμεν, ὅτι πολλοὶ θέλοντες ἀνασπᾶσαι τινὰς ἀπὸ τοῦ ποταμοῦ συγκατεποντίσθησαν αὐτοῖς. Βλέπε ἀπὸ πότε σε θέλει παγιδεῦσαι. Καὶ ὅταν ἐρωτᾷς καὶ λαμβάνῃς ἀπόκρισιν, στρέφει τὸ μάγγανον εἰς ἄλλο κακώτερον ὑπὲρ τὴν δύναμίν σου. Οὐκ ἀπαιτεῖ σε ὁ Θεὸς ἀγαθοποιῆσαι τῷ πλησίον· οὕτω γὰρ καὶ λέγει, «καθ' ὃ ἂν εὑρίσκει ἡ χείρ σου». Ἦλθεν ὁ τυφλός, ἠρρώστησας καὶ σὺ μεγάλως· τίς ὑπηρετεῖ καὶ σὲ κἀκεῖνον;

Ἀλλ' ὁ φέρων σοι τὰ δικαιώματα ταῦτα, ἀεὶ λέγει σοι, ἴδε ἤνεγκας τῷ κοινοβίῳ βάρος, καὶ ἔστιν ὁ ἄνθρωπος ὡς οἶδας δυσβάστακτος. Ὡς ἡ Γραφὴ λέγει· «ἄνδρα ἢ καὶ γέροντα μικρόψυχον τίς ὑποίσει;». Εἰ δὲ χρεία γεύσασθαι ὀλίγων ἡμερῶν κα-

πεθάνεις ἀπὸ κάθε ἄνθρωπο καὶ θὰ σωθεῖς. Καὶ πὲς στὸ λογισμό, 'πέθανα, καὶ βρίσκομαι μέσα στὸ τάφο'.

Πίστεψέ με, ἀγαπητέ· ἐπειδὴ ἀναγκάσθηκα ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, ξεπέρασα τὰ μέτρα μου, καὶ εἶπα αὐτὰ πρὸς τὴν ἀγάπη σου· διότι ποιός εἶμαι ἐγὼ ὁ ἐλάχιστος; Γι' αὐτό, ζητώντας συγγνώμη, λέγω· 'Στὸ ὄνομα τοῦ Κυρίου συγχώρησέ με τὸν φλύαρο καὶ προσευχήσου γιὰ μένα, δοῦλε τοῦ Θεοῦ 'Αβραάμ'.

56

Τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν γέροντα 'Αββᾶ Παῦλο,

ποὺ ἡσύχαζε καὶ ζητοῦσε νὰ πάρει κοντά του ἕνα τυφλὸ ἀδελφὸ καὶ νὰ τὸν ἐξυπηρετεῖ.

Αδελφὲ Παῦλε, ὑπάρχει παροιμία ποὺ λέγει· εἶδες νεώτερο νὰ τρέχει; μάθε ὅτι γέροντας τὸν δελέασε. Σὲ μᾶς λοιπόν, ἐκεῖνος ποὺ μᾶς δελεάζει εἶναι ὁ γέρος ὁ σατανᾶς· καὶ ἐπειδὴ μᾶς φθονεῖ θέλει νὰ μᾶς ὁδηγήσει σὲ κακὲς ἡμέρες μὲ πρόφαση τὴ δικαιοσύνη. Καὶ δὲν γνωρίζουμε, ὅτι πολλοὶ ποὺ ἤθελαν νὰ τραβήξουν κάποιους ἀπὸ τὸ ποτάμι, πνίγηκαν μαζὶ μ' ἐκείνους. Πρόσεχε ἀπὸ πότε θέλει νὰ σὲ παγιδέψει. Καὶ ὅταν ἐρωτᾶς καὶ παίρνεις ἀπάντηση, στρέφει τὴν παγίδα σὲ ἄλλο χειρότερο, ποὺ ξεπερνᾶ τὴ δύναμή σου. Ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ σένα νὰ ἀγαθοποιήσεις τὸν πλησίον σου· διότι λέγει τοῦτο· «σύμφωνα μ' αὐτὸ ποὺ βρίσκει τὸ χέρι σου»[9]. Ἦρθε ὁ τυφλός, ἀρρώστησες καὶ σὺ πολύ· ποιός θὰ περιποιεῖται καὶ ἐσένα καὶ ἐκεῖνον;

'Αλλὰ ἐκεῖνος ποὺ σοῦ δίνει αὐτὲς τὶς ἐντολές, πάντα σοῦ λέγει· 'βλέπε, ἔφερες βάρος στὸ κοινόβιο, καὶ ὅπως ξέρεις, ὁ ἄνθρωπος εἶναι δυσβάστακτος', ὅπως λέγει καὶ ἡ Γραφή· «ποιός θὰ ὑποφέρει ἄνδρα ἢ καὶ μικρόψυχο γέροντα;»[10] 'Εὰν εἶ-

9. Παρμ. 3,27.
10. Παρμ. 18,14.

κῶν, ποίησον ὃ θέλεις, εἰ μὴ ἠρωτήθην οὐκ εἶχον λαλῆσαι. Ἃ δὲ πάλιν ἐλάλησα, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ ἐλάλησα, ἵνα μὴ πλανηθῇ ὁ ἀδελφός μου. Εἰ δὲ συμπάσχεις αὐτῷ διὰ τὸν Θεὸν καὶ πιστεύεις ὅτι δυνατός ἐστιν ὁ Θεὸς βοηθῆσαι αὐτῷ, δεήθητι αὐτοῦ καὶ ὡς θέλει ποιεῖ μετ' αὐτοῦ.

Οὐκ ἔδησά σε, ἀδελφέ, οὐδὲ ἐντολήν σοι δέδωκα, ἀλλὰ γνώμην. Ὡς θέλεις οὖν ποίησον· καὶ συγχώρησόν μοι διὰ τὸν Κύριον, καὶ εὖξαι ὑπὲρ ἐμοῦ τοῦ ἐλαχίστου.

ΝΖ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, κινήσαντα λόγον πρός τινα περὶ πίστεως καὶ μὴ ὄντα ἱκανὸν πρὸς τοιαύτην ζήτησιν καὶ ταρασσόμενον εἰς τὴν ἀντιβολήν.*

Ὁ *θεῖος Ἀπόστολος, διὰ Πνεύματος ἁγίου κινηθεὶς εἶπε· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν πρὸς τὸ δύνασθαι ὑπενεγκεῖν». Ὁμόψυχε ἀδελφὲ καὶ γνήσιε ἀγαπητέ, πληροφορήθητι ἐν Κυρίῳ, ὅτι βλέπων τὴν θλῖψιν καὶ τὴν ταραχὴν τοῦ φθάσαντός σε πειρασμοῦ, οὕτως ἤλγησα δεινῶς ὡς οὐδέποτε. Μάλιστα μνησθεὶς τοῦ Ἀποστόλου λέγοντος, «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;». Καὶ πάλιν, «εἰ πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη». Εἰ γὰρ οὐ πράττω τὰ τοῦ Ἀποστόλου, ἀλλ' ἤκουσα αὐτοῦ λέγοντος, «κλαίειν μετὰ κλαιόντων, καὶ χαί-*

ναι ἀνάγκη νὰ γευθεῖς κακὰ λίγων ἡμερῶν, κάνε ἐκεῖνο ποὺ θέλεις, σὰν νὰ μὴ ἐρωτήθηκα καὶ νὰ μὴ μίλησα. Καὶ αὐτὰ πάλι ποὺ εἶπα, τὰ εἶπα ἐξαιτίας τῆς ἀγάπης τοῦ Χριστοῦ, γιὰ νὰ μὴ πλανηθεῖ ὁ ἀδελφός μου. Ἐὰν συμπάσχεις μ' αὐτὸν γιὰ τὸ Θεὸ καὶ πιστεύεις ὅτι ὁ Θεὸς εἶναι δυνατὸς νὰ τὸν βοηθήσει, παρακάλεσέ τον καὶ ὅπως θέλει θὰ κάνει μ' αὐτόν.

Δὲν σὲ ἔδεσα, ἀδελφέ, οὔτε ἐντολὴ σοῦ ἔδωσα, ἀλλὰ γνώμη. Ὅπως θέλεις λοιπὸν πρᾶξε· καὶ στὸ ὄνομα τοῦ Κυρίου συγχώρεσέ με καὶ προσευχήσου γιὰ μένα τὸν ἐλάχιστο.

57

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ἐπειδὴ κίνησε λόγο πρὸς κάποιον γιὰ τὴ πίστη καὶ δὲν ἦταν ἱκανὸς γιὰ τέτοια συζήτηση καὶ ταράχθηκε στὴν ἀντιπαράθεση.

Ο θεῖος Ἀπόστολος, ὑποκινούμενος ἀπὸ τὸ ἅγιο Πνεῦμα, εἶπε· «εἶναι ἀξιόπιστος ὁ Θεός, ὁ ὁποῖος δὲν θὰ σᾶς ἀφήσει νὰ πειραχθεῖτε περισσότερο ἀπ' ὅ,τι μπορεῖτε ἀλλὰ θὰ ὁρίσει μαζὶ μὲ τὸν πειρασμὸ καὶ τὴ διέξοδο, γιὰ νὰ μπορεῖτε νὰ τὸν ὑπομείνετε»[11]. Ὁμόψυχε ἀδελφὲ καὶ γνήσιε ἀγαπητέ, μάθε ἐν Κυρίῳ, ὅτι βλέποντας τὴ θλίψη καὶ τὴν ταραχὴ τοῦ πειρασμοῦ ποὺ ἔφθασε σὲ σένα, λυπήθηκα τόσο πολὺ ὅσο ποτὲ ἄλλοτε. Μάλιστα θυμήθηκα τὸν Ἀπόστολο ποὺ λέγει, «ποιός ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; ποιός σκανδαλίζεται καὶ δὲν καίγομαι καὶ ἐγώ;»[12]. Καὶ πάλι, «ἐὰν πονᾶ ἕνα μέλος, συμπάσχουν ὅλα τὰ μέλη»[13]. Διότι, ἐὰν δὲν κάμνω ἐκεῖνα ποὺ λέγει ὁ Ἀπόστολος, ὅμως τὸν ἄκουσα νὰ λέγει, «νὰ κλαῖμε μαζὶ μ' αὐτοὺς ποὺ κλαῖνε καὶ νὰ χαιρόμαστε μ' ἐκείνους ποὺ

---

11. Α' Κορ. 10,13.
12. Β' Κορ.11,29.
13. Α' Κορ. 12,26.

ρειν μετὰ χαιρόντων». Ἀλλὰ δόξα τῷ ὑψίστῳ Θεῷ, τῷ μὴ παραχωρήσαντι τῷ μισοκάλῳ ἐχθρῷ πληρῶσαι εἰς σὲ πᾶσαν τὴν κακίαν αὐτοῦ, κατὰ τὸ ἴδιον αὐτοῦ θέλημα· οὕτω γὰρ θέλει ζῶντας καταπιεῖν τοὺς ἀνθρώπους, ὡς μαρτυρεῖ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος, λέγων, ὅτι «ὡς λέων ὠρύεται, ζητῶν τίνα καταπίῃ».

Δέσποτά μου, μὴ διὰ τάχους ἀεὶ δεχώμεθα τὴν ταραχὴν τῶν πονηρῶν λογισμῶν, τῶν οὕτω κινεῖσθαι καὶ ταράσσεσθαι πρὸς τὸν πλησίον ἡμῶν· τοῦτο γὰρ τῆς διαβόλου ἐνεργείας ἐστί, καὶ οὐδὲν ἄλλο. Καὶ ποῦ ἐθήκαμεν ὅτι, «μακάριος ὁ ὑπομένων πειρασμόν, ὅτι δόκιμος γίνεται» καὶ τὰ ἑξῆς; Ταῦτα οὖν οὐκ ἔγραψα τῇ ὑμετέρᾳ ἀγάπῃ ὡς χρήζοντι διδασκαλίας· ἐὰν γὰρ ἐρευνήσῃς τὰς Γραφάς, περισσότερόν μου καὶ νήφεις καὶ φρονεῖς. Εἰμὶ γὰρ ταλαίπωρος καὶ ἀσθενὴς καὶ ὄνομα μόνον ἔχων διακενῆς. Ἀπὸ δὲ πόνου καρδίας καὶ ἀγάπης περισσοτέρας εἰς Θεόν, ἔγραψά σοι διὰ πολλῶν δακρύων. Στηρίξοι οὖν τὴν καρδίαν σου ἐν τῷ φόβῳ αὐτοῦ, «ὁ στερεώσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν»· καὶ θεμελιώσοι σου τὴν οἰκοδομὴν ἐπὶ τὴν στερεὰν πέτραν, «ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων»· καὶ ἐπιτιμήσοι τοῖς πειρατηρίοις σου, «ὁ ἐπιτιμήσας τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ»· μακρύνοι ἀπὸ σοῦ τὴν λήθην τῶν ἐντολῶν, ὁ μακρύνας ἀπὸ δυσμῶν τὰς ἀνατολάς· οἰκτειρήσοι σου τὴν ψυχήν, «ὡς οἰκτείρει πατὴρ υἱούς», καὶ φωτίσοι σου τὴν καρδίαν, «ὁ φωτίσας τὰ πρὶν ἐσκοτισμένα».

Καὶ δώῃ σοι ὑπομονὴν τοῦ οἰκῆσαι μετ' ἐμοῦ τοῦ ἀγαπητοῦ σου μετ' εἰρήνης ἕως ὑστέρας ἀναπνοῆς, καθὼς καὶ πρὸ

---

14. Ρωμ. 12,15.
15. Α' Πέτρ. 5,8.
16. Ἰάκ. 1,12.
17. Β' Κορ. 2,4.
18. Ὠσηὲ 13,4.

χαίρονται»[14]. Ἀλλὰ δόξα στὸν ὕψιστο Θεό, ποὺ δὲν ἐπέτρεψε στὸν μισόκαλο ἐχθρὸ νὰ ἐκπληρώσει σὲ σένα ὅλη τὴν κακία του, σύμφωνα μὲ τὸ τὸ θέλημα του· διότι τόσο πολὺ θέλει νὰ καταπιεῖ ζωντανοὺς τοὺς ἀνθρώπους. Ὅπως μαρτυρεῖ ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος, λέγοντας, ὅτι «σὰν λιοντάρι οὐρλιάζει, ζητώντας ποιόν νὰ καταπιεῖ»[15].

Δέσποτά μου, ἂς μὴ δεχόμαστε πάντοτε βιαστικὰ τὴν ταραχὴ τῶν πονηρῶν λογισμῶν, ὥστε νὰ κινούμαστε καὶ νὰ ταραζόμαστε τόσο πολὺ πρὸς τὸν πλησίον μας· διότι αὐτὸ εἶναι τῆς ἐνέργειας τοῦ διαβόλου καὶ τίποτε ἄλλο. Καὶ ποῦ ἀφήσαμε τὸ «μακάριος ἐκεῖνος ποὺ ὑπομένει τὸν πειρασμό, ἐπειδὴ γίνεται ἄξιος»[16] καὶ τὰ ἑξῆς; Αὐτὰ λοιπὸν δὲν τὰ ἔγραψα στὴν δική σου ἀγάπη ἐπειδὴ χρειάζεται διδασκαλία· διότι, ἐὰν ἐρευνήσεις τὶς Γραφές, θὰ ἀποκτήσεις μεγαλύτερη νηφαλιότητα καὶ φρόνηση ἀπὸ μένα. Διότι εἶμαι ταλαίπωρος καὶ ἀσθενὴς καὶ ὄνομα ἔχω μόνο ματαίως. Ἀλλὰ σοῦ ἔγραψα ἀπὸ πόνο καρδιᾶς καὶ ἀγάπης πρὸς τὸ Θεό, μὲ πολλὰ δάκρυα[17]. Εἴθε λοιπὸν νὰ σοῦ στηρίξει τὴν καρδιά σου στὸ φόβο του, «αὐτὸς ποὺ στερέωσε τὸν οὐρανὸ καὶ τὸν κατασκεύασε»[18]· καὶ εἴθε νὰ θεμελιώσει τὴν οἰκοδομή σου ἐπάνω σὲ στερεὴ πέτρα, «αὐτὸς ποὺ θεμελίωσε τὴ γῆ πάνω στὰ νερά»[19]. Καὶ εἴθε νὰ ἐπιτιμήσει ἐκείνους ποὺ σὲ πειράζουν, «αὐτὸς ποὺ ἐπιτίμησε τοὺς ἀνέμους καὶ τὴ θάλασσα»[20]. Εἴθε νὰ ἀπομακρύνει ἀπὸ σένα τὴ λησμονιὰ τῶν ἐντολῶν, «αὐτὸς ποὺ ἀπομάκρυνε τὴν ἀνατολὴ ἀπὸ τὴ δύση»[21]· εἴθε νὰ εὐσπλαχνισθεῖ τὴν ψυχή σου, ὅπως εὐσπλαχνίζεται ὁ πατέρας τοὺς υἱούς του»[22]· καὶ νὰ φωτίσει τὴν καρδιά σου, αὐτὸς ποὺ φώτισε ἐκεῖνα ποὺ ἦταν πρὶν σκοτεινά[23].

Εἴθε νὰ σοῦ δώσει ὑπομονὴ νὰ κατοικήσεις μὲ μένα τὸν ἀγαπητό σου εἰρηνικὰ μέχρι τὴν τελευταία ἀναπνοή, καθὼς καὶ

---

19. Ψαλμ. 135 (136),6.
20. Ματθ. 8,26.
21. Ψαλμ. 102,12.
22. Ψαλμ. 102 (103) 13.
23. Ἐφεσ. 5,8.

χρόνου ἐδήλωσεν ἡμῖν διὰ τῆς χάριτος αὐτοῦ, ὁ φήσας, «ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται»· καὶ δώῃ ἡμῖν τὴν εἰρήνην μετ' ἀλλήλων ἕως τέλους, ἣν ἔδωκε τοῖς ἑαυτοῦ μαθηταῖς· καὶ δώῃ ἡμῖν ἐλθεῖν εἰς τὴν τελείαν αὐτοῦ ἀγάπην, ὁ εἰπών, «εἰ ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε»· καὶ πάλιν εἶπεν, «ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις».

Εἰ εἴχομεν τοιαύτην ἀγάπην, οὐδὲν ἡμᾶς ἐχώριζεν ἀπ' ἀλλήλων ἕως θανάτου· ἀλλ' ὅμως γέγραπται «καὶ νῦν, Ἰσραήλ»· καὶ πάλιν «ἐὰν τὸ πνεῦμα τοῦ ἐξουσιάζοντος ἐπαναστῇ ἐπὶ σέ, τόπον σου μὴ ἀφῇς». Ἐγὼ τὸν λόγον τῆς Ῥοὺθ λέγω σοι, «μή μοι εἴη ἀποχωρισθῆναί σου· ἀλλ' ὁ θάνατος ἀποχωρίζει ἀναμέσον ἐμοῦ καὶ σοῦ». Εἰ δέ σύ τι παρασαλεύεις ἀπὸ τούτων, ἐγὼ ἀθῶός εἰμι κατὰ πάντα, σὺ ὄψει καὶ ἀπολογήσῃ ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ. Καὶ γὰρ ἐγὼ τὴν ψυχήν μου ἡδέως τίθημι εἰς θάνατον ὑπὲρ σοῦ, τοῦ ἀδελφοῦ μου· καὶ οὐκ ἔστιν ἐντολή. Ἡσύχασον πεποιθώς, θαυμάζων καὶ δοξάζων τὸν λυτρωσάμενόν σε Θεὸν ἀπὸ κινδύνων μεγάλων καὶ θλίψεων καὶ πειρασμῶν ποικίλων. Αὐτῷ ἡ δόξα, ἀμήν.

Συγχώρησόν μοι πολλὰ φλυαρήσαντι· ἀπὸ γὰρ λύπης πολλῆς καὶ χαρᾶς μεγάλης ἐπλάτυνά σοι τὸν λόγον.

ΝΗ'

Ταύτην δεξάμενος τὴν ἀπόκρισιν ἀντεδήλωσεν αὐτῷ ταῦτα.

Δέσποτα Κύριε, συγχώρησόν μοι διὰ τὸ Κύριον καὶ εὖξαι ὑπὲρ ἐμοῦ. Περὶ δὲ τῆς λύπης μου καὶ ταραχῆς ὅτι ἀπὸ τοῦ διαβόλου ἐστίν, οἶδας, ὦ δέσποτα, ὅτι ἐκ παιδὸς τὴν πίστιν τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων

---

24. Ματθ. 10,22.
25. Ἰω. 14,27.
26. Ἰω. 14,15.

πρὶν ἀπὸ καιρὸ μᾶς δήλωσε μὲ τὴ χάρη του ἐκεῖνος ποὺ εἶπε, «αὐτὸς ποὺ θὰ δείξει ὑπομονὴ μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[24], καὶ νὰ δώσει ἀνάμεσά μας μέχρι τὸ τέλος τὴν εἰρήνη, τὴν ὁποία ἔδωσε στοὺς μαθητές του[25]. Νὰ μᾶς ἀξιώσει νὰ φθάσουμε στὴν τέλεια ἀγάπη του, αὐτὸς ποὺ εἶπε «μ' αὐτὸ θὰ καταλάβουν ὅλοι ὅτι εἶστε μαθητές μου, ἐὰν ἔχετε ἀγάπη μεταξύ σας»[26].

Ἐὰν εἴχαμε τέτοια ἀγάπη, τίποτε δὲν θα μᾶς χώριζε ἀναμεταξύ μας μέχρι τὸ θάνατο· ἀλλ' ὅμως ἔχει γραφεῖ, «καὶ τώρα, Ἰσραήλ»[27]· καὶ πάλι, «ἐὰν τὸ Πνεῦμα αὐτοῦ ποὺ ἐξουσιάζει ἐπαναστατεῖ ἐναντίον σου, μὴ ἀφήνεις τὸν τόπο σου»[29]. Ἐγὼ σοῦ λέγω τὸν λόγο τῆς Ρούθ, «εἴθε νὰ μὴ συμβεῖ νὰ σὲ ἀποχωρισθῶ· ἀλλὰ ὁ θάνατος θὰ ἀποχωρίσει ἐμένα ἀπὸ σένα»[30]. Ἐὰν ὅμως ἐσὺ παρασαλεύσεις κάτι ἀπὸ αὐτά, ἐγὼ εἶμαι ἀθῶος ἐξ ὁλοκλήρου· ἐσὺ θὰ εἶσαι ὑπεύθυνος καὶ θὰ ἀπολογηθεῖς τὴν φοβερὴ μέρα. Διότι ἐγὼ μὲ εὐχαρίστηση βάζω σὲ θάνατο τὴν ψυχή μου γιὰ σένα τὸν ἀδελφό μου· καὶ δὲν εἶναι ἐντολή. Ἡσύχασε, ἔχοντας πεποίθηση, θαυμάζοντας καὶ δοξάζοντας τὸ Θεὸ ποὺ σὲ λύτρωσε ἀπὸ μεγάλους κινδύνους καὶ θλίψεις καὶ ποικίλους πειρασμούς. Σ' αὐτὸν ἀνήκει ἡ δόξα· γένοιτο.

Συγχώρησέ με ποὺ φλυάρησα πολύ· διότι ἀπὸ πολλὴ λύπη καὶ μεγάλη χαρὰ μάκρυνα τὸν λόγο πρὸς ἐσένα.

58

Ἀφοῦ δέχθηκε αὐτὴ τὴν ἀπάντηση, τοῦ δήλωσε καὶ πάλι αὐτά.

Δέσποτα κύριε, στὸ ὄνομα τοῦ Κυρίου συγχώρεσέ με καὶ προσευχήσου γιὰ μένα. Γιὰ τὴ λύπη καὶ τὴν ταραχὴ μου ποὺ προέρχεται ἀπὸ τὸν διάβολο, γνωρίζεις, δέσποτα, ὅτι ἔλαβα ἀπὸ παιδὶ τὴν πίστη τῶν τριακοσίων δέκα

27. Ἰω. 13,35.
28. Δευτ. 4,1. 10,12.
29. Ἐκκλ. 10,4.
30. Ρούθ 1,16–17.

Πατέρων ἐξέλαβον, καὶ οὐδέποτε ἐδεξάμην πλὴν ταύτης ἑτέραν διδασκαλίαν, καὶ ταράσσομαι. Εἰ οὖν οἶδας, ὦ πάτερ, ὅτι ἀκαίρως ταράσσομαι, δός μοι λόγον ὅτι ἀπολογεῖται ὁ Κύριός μου ὑπὲρ ἐμοῦ τῷ Θεῷ καὶ οὐκ ἔστι μοι βλάβος, καὶ παύσομαι τῆς λύπης καὶ ταραχῆς· δεινῶς γὰρ βασανίζομαι περὶ τούτων. Ἰδιώτης γάρ εἰμι καὶ πλήρης ἀφροσύνης καὶ ἐταζόμενος ἐπὶ πολλαῖς ἁμαρτίαις. Μὴ οὖν λάβῃς κατ' ἐμοῦ δέσποτα· ἀλλ' ἀντίγραψόν μοι τὴν συγχώρησιν. Καὶ περὶ τούτων συμβοήθησόν μοι ἐν ταῖς εὐχαῖς σου ταῖς εὐπροσδέκτοις, καὶ πιστεύω τῷ Θεῷ, ὅτι κερδαίνεις τὴν ἀθλίαν μου ψυχήν.

ΝΘ'

Ἀπόκρισις

Εἰ κατενόησας τὰ γραφέντα σοι παρ' ἐμοῦ, εἶχες μαθεῖν, ὅτι ἀπ' ἐμαυτοῦ ἔγραψά σοι τοῦτο· τὸ γὰρ εἰπεῖν 'τὴν ψυχήν μου τίθημι ὑπὲρ σοῦ', τὸ ἀπολογοῦμαι ὑπὲρ τῆς ἀγάπης σού ἐστιν ἑρμηνευόμενον· οὐκ αἰσχύνομαι εἰπεῖν σοὶ τῷ ἀδελφῷ μου, ὅτι οὐ δύνασαι ἐρευνᾶν τὰ περὶ πίστεως· μὴ δυνάμενος οὖν μὴ ἐρευνήσῃς, ἐπειδὴ θλῖψιν σεαυτῷ ἐπισπᾶσαι καὶ ταραχήν. Κἂν γὰρ πρὸς αἱρετικοὺς ἢ ἀπίστους λαλήσῃ ἢ ἀντιβάλῃ πιστός, εἰς τὸν αἰῶνα οὐ ταράσσεται· ἔχει γὰρ ἔσωθεν τὸν τῆς εἰρήνης ἀρχηγὸν καὶ τῆς γαλήνης Ἰησοῦν· καὶ ὁ τοιοῦτος δύναται εἰρηνικῶς ἀντιβαλών, μετὰ ἀγάπης ἐνεγκεῖν εἰς ἐπίγνωσιν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ αἱρετικοὺς καὶ ἀπίστους πολλούς.

Λοιπόν, ἀδελφέ, ἐπειδὴ ὑπὲρ σέ ἐστι τὸ ἐρευνᾶν ὑπὲρ ἄλλων πραγμάτων, κάτεχε τὴν βασιλικὴν ὁδόν, τὴν πίστιν λέγω τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων, εἰς ἣν καὶ ἐβαπτίσθης· πάντα γὰρ ἔχει μετὰ ἀκριβείας τοῖς νοοῦσι τὸ τέ-

ὀκτὼ ἁγίων καὶ θεοφόρων Πατέρων, καὶ ποτὲ μέχρι τώρα δὲ δέχθηκα ἄλλη διδασκαλία ἐκτὸς ἀπὸ αὐτήν, καὶ ὅμως ταράσσομαι. Ἐὰν λοιπὸν γνωρίζεις, Πάτερ, ὅτι ἄκαιρα ταράσσομαι, δῶσε μου λόγο ὅτι ὁ Κύριός μου ἀπολογεῖται στὸ Θεὸ γιὰ μένα καὶ δὲν ὑπάρχει βλάβη μου καὶ θὰ σταματήσω τὴ λύπη καὶ τὴν ταραχή, διότι βασανίζομαι πολὺ γι' αὐτά. Πράγματι εἶμαι ἀμαθὴς καὶ γεμᾶτος ἀφροσύνη καὶ ὑπεύθυνος πολλῶν ἁμαρτιῶν. Μὴ τὶς ὑπολογίσεις ἐναντίον μου, δέσποτα, ἀλλὰ ἀπάντησέ μου, παρέχοντάς μου τὴ συγχώρηση. Καὶ βοήθησέ με σ' αὐτὰ μὲ τὶς εὐπρόσδεκτες εὐχές σου, καὶ ἔχω ἐμπιστοσύνη στὸ Θεό, ὅτι κερδίζεις τὴν ἄθλια ψυχή μου.

59

Ἀπόκριση

Ἐὰν κατανοοῦσες αὐτὰ ποὺ σοῦ ἔγραψα, θὰ μάθαινες ὅτι ἀπὸ μόνος μου σοῦ ἔγραψα αὐτό· διότι τὸ νὰ πῶ, ὅτι θυσιάζω τὴν ψυχή μου γιὰ σένα, σημαίνει ὅτι ἀπολογοῦμαι γιὰ τὴν ἀγάπη σου· δὲν ντρέπομαι νὰ πῶ σὲ σένα τὸν ἀδελφό μου, ὅτι δὲν μορεῖς νὰ ἐρευνᾶς τὰ σχετικὰ μὲ τὴν πίστη· ἀφοῦ λοιπὸν δὲν μπορεῖς, νὰ μὴ τὰ ἐρευνήσεις, διότι συγκεντρώνεις γιὰ τὸν ἑαυτό σου θλίψη καὶ ταραχή. Ὁ πιστὸς δηλαδὴ καὶ ἂν ἀκόμη μιλήσει σὲ αἱρετικοὺς ἢ ἀπίστους ἢ ἀντιπαρετεθεῖ, δὲν ταράσσεται στὸν αἰώνα· διότι ἔχει μέσα τὸν Ἰησοῦ, τὸν ἀρχηγὸ τῆς εἰρήνης καὶ τῆς γαλήνης[31]· καὶ ὁ τέτοιος μπορεῖ ἀντιλέγοντας εἰρηνικὰ νὰ ὁδηγήσει πολλοὺς αἱρετικοὺς καὶ ἀπίστους σὲ ἐπίγνωση τοῦ Σωτῆρα μας Ἰησοῦ Χριστοῦ.

Λοιπόν, ἀδελφέ, ἐπειδὴ εἶναι πάνω ἀπὸ τὴ δύναμή σου ἡ ἔρευνα γιὰ ἄλλα πράγματα, κράτα τὴν βασιλικὴ ὁδό, ἐννοῶ τὴν πίστη τῶν τριακοσίων δέκα ὀκτὼ ἁγίων Πατέρων, στὴν ὁποία καὶ βαπτίσθηκες· διότι ἔχει τὰ πάντα μὲ ἀκρίβεια γι' αὐτοὺς ποὺ

31. Ἠσ. 9,6.

λειον. Ἡσύχασον οὖν προσέχων ταῖς σαῖς ἁμαρτίαις, καὶ πῶς ἔχεις ἀπαντῆσαι τῷ Θεῷ· κἂν οὕτω κατάσχῃς μου τὴν ἐντολήν, μᾶλλον δὲ τοῦ Θεοῦ, ὁμολογῶ ὅτι ἀπολογοῦμαι ὑπὲρ σοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ᾗ κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων.

Μὴ οὖν διστάσῃς καὶ εἰς χείρονα φέρῃς σεαυτόν· τὰ γὰρ γλυκέα εἰς πικρὰ στρέφει ὁ ἐχθρός, ὃν καταργήσοι ἀφ' ἡμῶν ὁ Κύριος Ἰησοῦς τὰ πρῶτα. Μὴ μεριμνήσῃς ἀπ' ἄρτι περὶ ἄλλων πραγμάτων· ἦρε γὰρ τὴν μέριμναν ἀπὸ σοῦ ὁ Κύριος, καὶ βλέπων ὁ πονηρὸς δαίμων, ὅτι εὐχαῖς ἁγίων ἐρρύσθης, ἐζήτησεν ἐᾶσαι μετὰ σοῦ ἀπὸ τοῦ καπνοῦ τοῦ τοιούτου πειρασμοῦ μέρος. Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ, ἵνα μὴ κἀμοὶ εἴπῃ, «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Μὴ πάλιν προσκόψῃς ἐν τούτοις καὶ λυπήσῃς με τὸν ἀγαπητόν σου.

Ὁ Κύριος σκεπάσοι ἡμᾶς ὑπὸ τὰς πτέρυγας αὐτοῦ. Ἀμήν.

Ξ'

Ἕτερος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν μέγα Γέροντα·

πῶς δύναμαι εἰδέναι τὸν ἐκ τοῦ Θεοῦ λογισμὸν καὶ τὸν ἐκ τῶν δαιμόνων;

Τέκνον Θεόδωρε, αἰτῶν, κατανόησον τί αἰτεῖς καὶ ἑτοίμασον σεαυτὸν εἰς ἐργασίαν· γέγραπται γάρ, «μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι». Τὸ αἴτημά σου, ἀδελφέ, τοῦ μεγάλου ἐστὶ μέτρου. Ἐὰν οὖν μὴ καθαρισθῇ ὁ ὀφθαλμὸς ὁ ἔσωθεν διὰ πολλῶν ἰατρειῶν, οὐ δύναται ἀποστῆναι τῶν ἀκανθῶν καὶ τριβόλων καὶ καταλαβεῖν

κατανοοῦν τὸ τέλειο. Ἡσύχασε λοιπὸν προσέχοντας τὶς ἁμαρτίες σου καὶ πῶς μπορεῖς νὰ συναντήσεις τὸ Θεό. Καὶ ἐὰν μὲ αὐτὸν τὸν τρόπο φυλάξεις τὴ δική μου ἐντολὴ ἢ καλύτερα τοῦ Θεοῦ, ὁμολογῶ ὅτι θὰ ἀπολογηθῶ γιὰ σένα ἐκείνη τὴν ἡμέρα, κατὰ τὴν ὁποία ὁ Θεὸς θὰ κρίνει τὰ κρυπτὰ τῶν ἀνθρώπων[32].

Μὴ διστάσεις λοιπὸν καὶ ὁδηγήσεις τὸν ἑαυτό σου καὶ σὲ χειρότερα· διότι ὁ ἐχθρός, τὸν ὁποῖο θὰ καταργήσει ἀπὸ μᾶς ὁ Κύριος Ἰησοῦς ἀπὸ τὴν ἀρχή, μεταστρέφει τὰ γλυκὰ σὲ πικρά. Μὴ μεριμνήσεις ἀμέσως γιὰ ἄλλα πράγματα· διότι ὁ Κύριος ἀφήρεσε τὴ μέριμνα ἀπὸ σένα καὶ βλέποντας ὁ πονηρὸς δαίμονας ὅτι ἐλευθερώθηκες μὲ τὶς εὐχὲς τῶν ἁγίων, ζήτησε νὰ ἀφήσεις μέρος ἀπὸ τὸν καπνὸ αὐτοῦ τοῦ πειρασμοῦ. Προσευχήσου γιὰ μένα, ἀδελφέ, γιὰ νὰ μὴ πεῖ καὶ σὲ μένα, «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲν διδάσκεις τὸν ἑαυτό σου;»[33]. Μὴ ὑποπέσεις πάλι σ' αὐτὰ καὶ λυπήσεις ἐμένα τὸν ἀγαπητό σου.

Εἴθε ὁ Κύριος νὰ μᾶς σκεπάσει μὲ τὶς πτέρυγές του. Γένοιτο.

60

Ἄλλος ἀδελφὸς ἐρώτησε τὸν μεγάλο Γέροντα.

Πῶς μπορῶ νὰ γνωρίζω τὸν λογισμὸ ποὺ προέρχεται ἀπὸ τὸ Θεὸ καὶ αὐτὸν ποὺ προέρχεται ἀπὸ τοὺς δαίμονες;

Τέκνο μου Θεόδωρε, ζητώντας, σψέψου καλὰ τί ζητᾶς καὶ ἑτοίμασε τὸν ἑαυτό σου γιὰ ἐργασία· διότι ἔχει γραφεῖ, «νὰ μὴν ὑψηλοφρονεῖτε, ἀλλὰ νὰ πηγαίνετε μαζὶ μὲ τοὺς ταπεινούς»[34]. Τὸ αἴτημά σου, ἀδελφέ, εἶναι τοῦ μεγάλου μέτρου. Ἐὰν λοιπὸν δὲν καθαρισθεῖ τὸ ἐσωτερικό σου μάτι μὲ πολλὲς γιατρειές, δὲν μπορεῖ νὰ ἀπομακρυνθεῖ ἀπὸ τὰ

32. Ρωμ. 2,16.
33. Ρωμ. 2,21.
34. Ρωμ. 11,20.

τὴν σταφυλὴν τὴν στύφουσαν καρδίαν καὶ εὐφραίνουσαν. Ἐὰν μὴ καταλάβη ὁ ἄνθρωπος τοῦτο τὸ μέτρον, διακρίναι οὐ δύναται, μήποτε χλευασθῇ ὑπὸ δαιμόνων καὶ πλανηθῇ πιστεύων αὐτοῖς· μετασχηματίζουσι γὰρ τὰ πράγματα ὡς θέλουσι, καὶ μάλιστα τοῖς τὰς τέχνας αὐτῶν μὴ ἐπισταμένοις. Ἀγαπητέ, ἔλπισον ἐπὶ Κύριον, καὶ δῴη σοι τὰ αἰτήματα τῆς καρδίας σου καὶ εἰπὲ αὐτῷ ἐν πᾶσι, «γενέσθω, Κύριε, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ», καὶ ποιεῖ μετὰ σοῦ κατὰ τὸ αὐτοῦ θέλημα.

Ἄκουσον, τέκνον, τὴν διάκρισιν ὧν ἠρώτησας λογισμῶν. Ὅτε ὑποβάλλει σοι ὁ λογισμὸς ποιῆσαί τι κατὰ τὸ θέλημα τοῦτο καὶ εὑρίσκεις χαρὰν ἐν τῷ πράγματι καὶ θλῖψιν ἀντιστήκουσαν, μάθε ὅτι τοῦ Θεοῦ ἐστι· καὶ πύκτευσον ὑπομεῖναι κατὰ τὸν λέγοντα Ἀπόστολον· «δουλαγωγῶ μου τὸ σῶμα καὶ ὑπωπιάζω, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι», καὶ πλήρωσον τὸ θέλημα τοῦ Θεοῦ. Ἐὰν δὲ φυσικὸς λογισμὸς ἔλθῃ σοι, πρόσχες μετὰ ἀκριβείας καὶ εὑρήσεις τὴν διάκρισιν· φησὶ γὰρ ἡ θεία Γραφή· «διὰ τοῦτο καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Εἰδὼς οὖν ὁ Ἀπόστολος ὅτι θέλημά ἐστι Θεοῦ, οὐ μόνον τὰ τῶν δαιμόνων, ἀλλὰ καὶ τὰ φυσικὰ ἐγκαταλείπειν, ἔφησεν, ὅτι ἡ σὰρξ οὐδὲν ὠφελεῖ· «ὁ κολλώμενος οὖν πρὸς τὴν γυναῖκα, σάρξ ἐστιν, ὁ δὲ τῷ Κυρίῳ, πνεῦμά ἐστι».

Τοῖς οὖν θέλουσι πνευματικοῖς εἶναι, ἀποβάλλειν χρὴ τὴν σάρκα· τὸ γὰρ μὴ ὠφελοῦν, καὶ βλαβερόν ἐστι· τὸ δὲ βλάπτον, ἀπόβλητόν ἐστι· τοῖς δὲ ἐν τῷ κόσμῳ εὐσεβῶς ζῆν ἐθέλουσιν, ἐκήρυξεν, ὅτι «τίμιος ὁ γάμος» καὶ τὰ λοιπά. Οἱ δὲ ἀπὸ τῶν

ἀγκάθια καὶ τὰ τριβόλια καὶ νὰ φθάσει τὸ σταφύλι ποὺ στύφει καὶ εὐφραίνει τὴν καρδιά. Ἐὰν ὁ ἄνθρωπος δὲν φθάσει αὐτὸ τὸ μέτρο δὲν μπορεῖ νὰ διακρίνει, μήπως χλευασθεῖ κάποτε ἀπὸ τοὺς δαίμονες καὶ πλανηθεῖ πιστεύοντας σ' αὐτούς· διότι μεταβάλλουν τὰ πράγματα ὅπως θέλουν καὶ μάλιστα σ' αὐτοὺς ποὺ δὲν γνωρίζουν καλὰ τὶς μηχανορραφίες τους. Ἀγαπητέ, στήριξε τὶς ἐλπίδες σου στὸν Κύριο καὶ θὰ σοῦ δώσει τὰ αἰτήματα τῆς καρδιᾶς σου, καὶ πές του σὲ ὅλα, «ἂς γίνει, Κύριε, ὄχι ὅπως θέλω ἐγώ, ἀλλὰ ὅπως θέλεις ἐσύ»[35]· καὶ τότε ἐνεργεῖ μὲ σένα σύμφωνα μὲ τὸ θέλημά του.

Ἄκουσε, τέκνο μου, τὴν διάκριση τῶν λογισμῶν γιὰ τοὺς ὁποίους ἐρώτησες. Ὅταν ὁ λογισμὸς σοῦ ὑποβάλλει νὰ κάνεις κάτι σύμφωνα μ' αὐτὸ τὸ θέλημα καὶ βρίσκεις χαρὰ στὸ πρᾶγμα καὶ θλίψη ποὺ ἀντιστέκεται, μάθε ὅτι εἶναι τοῦ Θεοῦ, καὶ ἀγωνίσου νὰ τὸν ὑπομείνεις, σύμφωνα μὲ τὸν Ἀπόστολο ποὺ λέγει, «δουλαγωγῶ καὶ ταλαιπωρῶ τὸ σῶμα, γιὰ νὰ μὴ συμβεῖ, ἐνῶ ἐκήρυξα σὲ ἄλλους, νὰ γίνω ἐγὼ ἀνάξιος»[36], καὶ ἐκπλήρωσε τὸ θέλημα τοῦ Θεοῦ. Ἐὰν σοῦ ἔλθει φυσικὸς λογισμός, πρόσεχε μὲ ἀκρίβεια καὶ θὰ βρεῖς τὴ διάκριση· διότι ἡ θεία Γραφὴ λέγει, «γι' αὐτὸ θὰ ἐγκαταλείψει ὁ ἄνθρωπος τὸν πατέρα καὶ τὴ μητέρα του, καὶ θὰ προσκολληθεῖ στὴ γυναῖκα του καὶ θὰ εἶναι οἱ δύο σὲ μία σάρκα»[37]. Γνωρίζοντας λοιπὸν ὁ Ἀπόστολος ὅτι εἶναι θέλημα τοῦ Θεοῦ νὰ ἐγκαταλείψεις ὄχι μόνο τὰ τῶν δαιμόνων, ἀλλὰ καὶ τὰ φυσικά, εἶπε, ὅτι ἡ σάρκα δὲν ὠφελεῖ καθόλου· «αὐτὸς λοιπὸν ποὺ προσκολλᾶται στὴ γυναίκα εἶναι σάρκα, ἐνῶ ἐκεῖνος ποὺ ἑνώνεται μὲ τὸν Κύριο, εἶναι πνεῦμα».

Ἐκεῖνοι λοιπὸν ποὺ θέλουν νὰ εἶναι πνευματικοὶ πρέπει νὰ ἀποβάλλουν τὴ σάρκα· διότι ἐκεῖνο ποὺ δὲν ὠφελεῖ, εἶναι καὶ βλαβερό, ἐνῶ ἐκεῖνο ποὺ βλάπτει εἶναι ἀπόβλητο· σ' αὐτοὺς ὅμως ποὺ θέλουν νὰ ζοῦν μέσα στὸν κόσμο μὲ εὐσέβεια, κήρυ-

---

35. Ματθ. 26,39·42.
36. Α' Κορ. 9,27.
37. Ματθ. 19,5.

δαιμόνων λογισμοί, πρῶτον τεταραγμένοι εἰσὶ καὶ λύπης μεμεστωμένοι, καὶ κρυφίως καὶ λεπτῶς ἐπὶ τὰ ὀπίσω ἕλκουσιν· ἐνδύονται ἐνδύματα προβάτων, τουτέστιν ὑποβάλλουσι λογισμοὺς δικαιοσύνης, εἰσὶ δὲ ἔσωθεν λύκοι ἅρπαγες· τοῦτ' ἔστι διὰ τῶν φαινομένων χρηστῶν, μᾶλλον δὲ ἀχρήστων, ἐξαρπάζουσι καὶ ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. Ἐπεὶ οὖν ἐγράφη περὶ τοῦ ὄφεως ὅτι φρονιμώτατός ἐστιν, ἀεὶ αὐτοῦ τήρει τὴν κεφαλήν, μήποτε αὐτὸς εὕρῃ παρὰ σοὶ φωλεὸν καὶ δι' αὐτοῦ οἴκησιν, καὶ λοιπὸν ἐνεργήσει τὴν ἐρήμωσιν.

Εἰ οὖν καὶ σὺ πνευματικὸς ἐπιθυμεῖς γενέσθαι, ἀπόθου τὰ τῆς σαρκός· ἅτινα γὰρ ἀρνεῖταί τις, ταῦτα καὶ ἀποβάλλεται. Καὶ ἄκουσον αὐτοῦ τοῦ Κυρίου λέγοντος· «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι». Πῶς δὲ ἑαυτὸν ἀρνεῖται ὁ ἄνθρωπος, εἰ μὴ ἀφεὶς τὰ θελήματα αὐτοῦ τὰ φυσικά, καὶ αὐτῷ ἀκολουθήσας; Διὰ τοῦτο γὰρ εἰδικῶς περὶ τῶν φυσικῶν λέγει, καὶ οὐ τῶν παρὰ φύσιν· ἐὰν γὰρ τὰ παρὰ φύσιν ἀφήσῃ τις, τῶν αὐτοῦ οὐδὲν ἀφῆκε διὰ τὸν Θεόν· οὐδὲ γὰρ αὐτοῦ εἰσιν. Ὁ δὲ τὰ φυσικὰ αὐτοῦ ἀφείς, ὁ τοιοῦτος μετὰ τοῦ ἁγίου Ἀποστόλου Πέτρου ἀεὶ βοᾷ· «ἰδού, ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;». Καὶ ἀκούει τῆς μακαρίας ἐκείνης φωνῆς, καὶ τῆς μελλούσης ζωῆς τὴν ἐπαγγελίαν πληροφορεῖται.

Τί οὖν ἀφεὶς ὁ Πέτρος, μὴ ὢν πλούσιος, ἐκαυχᾶτο, εἰ μὴ τὰ φυσικὰ αὐτοῦ θελήματα; Ἐὰν γὰρ μὴ ἀποθάνῃ ἄνθρωπος τῇ σαρκὶ τῷ πνεύματι ζῶν, ἐγερθῆναι οὐ δύναται. Καθὼς οὐ μένει μετὰ τοῦ νεκροῦ τὰ φυσικὰ αὐτοῦ παντελῶς, οὕτως οὐδὲ μετὰ τοῦ νεκρωθέντος τῇ σαρκὶ πνευματικῶς. Εἰ οὖν ἀπέθανες τῇ

ξε, ὅτι «ὁ γάμος εἶναι τίμιος»[38] καὶ τὰ ἑξῆς. Ἐνῶ οἱ λογισμοὶ ἀπὸ τοὺς δαίμονες, πρῶτα εἶναι ταραγμένοι καὶ γεμᾶτοι λύπη καὶ σύρουν πρὸς τὰ πίσω κρυφὰ καὶ ἀνεπαίσθητα. Ντύνονται ἐνδύματα προβάτων, δηλαδὴ ὑποβάλλουν τοὺς λογισμους τῆς δικαιοσύνης, ἐνῶ ἀπὸ μέσα εἶναι ἅρπαγες λύκοι· δηλαδὴ μ' ἐκεῖνα ποὺ φαίνονται χρηστοὶ ἢ καλύτερα ἄχρηστοι, ἁρπάζουν καὶ ἐξαπατοῦν τὶς καρδιὲς τῶν ἀκάκων. Ἐπειδὴ λοιπὸν γράφηκε γιὰ τὸ φίδι, ὅτι εἶναι φρονιμώτατο, σύνθλιβε πάντα τὸ κεφάλι του, μήπως κάποτε βρεῖ κοντά σου φωλιὰ καὶ κατοικία ἔτσι, καὶ ἔπειτα ἐνεργήσει τὴν ἐρήμωση.

Ἐὰν λοιπὸν ἐπιθυμεῖς καὶ σὺ νὰ γίνεις πνευματικός, ἀπομάκρυνε τὰ τῆς σάρκας· ἐκεῖνα ποὺ ἀρνεῖται κανείς, αὐτὰ καὶ τὰ ἀποβάλλει. Καὶ ἄκουσε τὸν ἴδιο τὸν Κύριο ποὺ λέγει· «ἐὰν κάποιος θέλει νὰ ἔλθει ὀπίσω μου, ν' ἀπαρνηθεῖ τὸν ἑαυτό του καὶ νὰ σηκώσει τὸ σταυρό του καὶ νὰ μὲ ἀκολουθήσει»[39]. Καὶ πῶς ἀρνεῖται ὁ ἄνθρωπος τὸν ἑαυτό του, παρὰ ἀφήνοντας τὰ φυσικά του θελήματα καὶ ἀκολουθώντας αὐτόν; Γι' αὐτὸ λέγει εἰδικὰ γιὰ τὰ φυσικὰ καὶ ὄχι γιὰ τὰ ἀντίθετα μὲ τὴ φύση· διότι ἐὰν κανεὶς ἀφήσει τὰ παρὰ φύση, δὲν ἄφησε τίποτα ἀπὸ τὰ δικά του γιὰ τὸ Θεό· διότι δὲν εἶναι ἐκεῖνα δικά του. Ἐκεῖνος ποὺ ἄφησε τὰ φυσικά του θελήματα, αὐτὸς μὲ τὸν ἅγιο Ἀπόστολο Πέτρο πάντοτε φωνάζει, «νά, τὰ ἀφήσαμε ὅλα καὶ σὲ ἀκολουθήσαμε· τί λοιπὸν θὰ ὑπάρξει γιὰ μᾶς;»[40]. Καὶ ἀκούει τὴν μακάρια ἐκείνη φωνὴ καὶ πληροφορεῖται τὴν ἐπαγγελία τῆς μέλλουσας ζωῆς.

Τί λοιπὸν ἄφησε ὁ Πέτρος, ἐνῶ δὲν ἦταν πλούσιος, καὶ καυχιόταν, ἂν ὄχι τὰ φυσικά του θελήματα; Διότι, ἐὰν δὲν πεθάνει ὁ ἄνθρωπος κατὰ τὴ σάρκα, ἐνῶ μὲ τὸ πνεῦμα νὰ ζεῖ, δὲν μπορεῖ νὰ ἀναστηθεῖ. Ὅπως δὲν μένουν μὲ τὸν νεκρὸ ἐντελῶς καθόλου τὰ φυσικὰ θελήματα, ἔτσι δὲν μένουν στὴ σάρκα οὔτε ἐκείνου ποὺ νεκρώθηκε πνευματικά. Ἐὰν λοιπὸν πέθανες ὡς

38. Ἑβρ. 13,4.
39. Ματθ. 16,24.
40. Ματθ. 19,27.

σαρκί, πῶς ζῶσιν ἐν σοὶ τὰ φυσικά; Εἰ δὲ οὐκ ἦς τοῦ πνευματικοῦ μέτρου, ἀλλὰ νήπιος ἔτι τῷ νοΐ, ταπεινώθητι τῷ διδασκάλῳ, ἵνα παιδεύσῃ σε ἐν ἐλέει, κἂν δοκῇ σοι καλὸν τὸ φαινόμενον· τὸ γὰρ φῶς τῶν δαιμόνων σκότος γίνεται ὕστερον· εἴ τι οὖν ἀκούεις ἢ λογίζῃ ἢ βλέπεις κἂν μικρὸν ταραχθῇ ἡ καρδία σου, τῶν δαιμόνων ἐστὶ τοῦτο.

Δέξαι οὖν τὰ ἐν συντόμῳ γραφέντα, πιστεύων ὅτι, ἐὰν ἱδρώσῃς ἐν τούτοις, προκόψαι χαρίζεταί σοι ὁ πᾶσι δωρούμενος Θεὸς τὸ εἶναι διὰ παντὸς μετὰ τῶν ἁγίων αὐτοῦ, συλλειτουργεῖν, χαίρειν καὶ συγκληρονομεῖν τῶν αὐτοῦ ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΞΑ'

Τοῦ Γέροντος μηδενὶ συντυγχάνοντος, εἰ μὴ τῷ ἰδίῳ ὑπηρέτῃ τῷ ἀββᾷ, ὁ αὐτὸς ἀδελφὸς διὰ γραμμάτων συντυχεῖν αὐτῷ παρεκάλει, λέγων, ὅτι 'καὶ ὁ ἀββᾶς Μωϋσῆς καὶ οἱ λοιποὶ τῶν Πατέρων συνετύγχανον τοῖς δεομένοις'. Ἀπεκρίθη οὖν αὐτῷ ὁ Γέρων διὰ γραμμάτων καὶ μετὰ προρρήσεως, ὧν τὴν ἔκβασιν αὐτῇ τῇ πείρᾳ ἡμεῖς ἔγνωμεν· εἶπε γὰρ ὀφθήσεσθαι αὐτῷ ποίῳ τρόπῳ καὶ τίνος χάριν ἕνεκεν τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ. Μετὰ χρόνον γὰρ τοῦ αὐτοῦ ἀδελφοῦ ἐμπεσόντος εἰς πειρασμόν, δυσπιστοῦντος καὶ λέγοντος μὴ εἶναι ὅλως ἐν τῷ κελλίῳ τὸν Γέροντα, ἀλλὰ πλάττεσθαι τὸν ἀββᾶν τὴν αὐτοῦ παρουσίαν, καλέσας ὁ Γέρων τὸν αὐτὸν ἀδελφὸν καὶ τοὺς εὑρεθέντας ἐν τῷ τόπῳ, ἔνιψε πάντων τοὺς πόδας (κἀγὼ δὲ ὁ ἁμαρτωλὸς ἠξιώθην τοῦ νίμματος) καὶ οὕτως ἀνανήψας ὁ ἀδελφός, καὶ ταύτης τῆς ἀποκρίσεως ἀναμνησθείς, ἐξω-

πρὸς τὴ σάρκα, πῶς ζοῦνε σ' ἐσένα τὰ φυσικὰ θελήματα; Καὶ ἐὰν δὲν εἶσαι τοῦ πνευματικοῦ μέτρου, ἀλλὰ νήπιος ἀκόμα στὸ νοῦ, ταπεινώσου στὸν διδάσκαλο, γιὰ νὰ σὲ παιδεύσει μὲ ἔλεος, κι ἂν ἀκόμα σοῦ φαίνεται καλὸ τὸ φαινόμενο· διότι τὸ φῶς τῶν δαιμόνων γίνεται ὕστερα σκοτάδι. Ἐὰν λοιπὸν ἀκοῦς κάτι ἢ σκέφτεσαι ἢ βλέπεις, ἀκόμα καὶ ἂν ταραχθεῖ λίγο ἡ καρδιά σου, αὐτὸ εἶναι τῶν δαιμόνων.

Δέξου λοιπὸν αὐτὰ ποὺ γράφηκαν μὲ συντομία, πιστεύοντας, ὅτι, ἐὰν κοπιάσεις σ' αὐτά, ὁ Θεός, ποὺ δωρίζει σὲ ὅλους τὸ νὰ ὑπάρχουν, θὰ σοῦ χαρίσει προκοπὴ γιὰ πάντα μαζὶ μὲ τοὺς ἁγίου του, ὥστε νὰ συλλειτουργεῖς, νὰ χαίρεσαι καὶ νὰ συγκληρονομήσεις τὰ ἀγαθά του, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

61

Ἐπειδὴ ὁ γέροντας δὲ συνομιλοῦσε μὲ κανένα, παρὰ μόνο μὲ τὸν ὑπηρέτη του τὸν Ἀββᾶ, ὁ ἴδιος ἀδελφὸς τὸν παρακαλοῦσε μὲ γράμματα νὰ τὸν δεχθεῖ νὰ συνομιλήσει, λέγοντας ὅτι καὶ ὁ ἀββᾶς Μωϋσῆς καὶ οἱ ἄλλοι Πατέρες συνομιλοῦσαν μὲ ὅσους εἶχαν ἀνάγκη. Τοῦ ἀπάντησε λοιπὸν ὁ Γέροντας μὲ γράμματα καὶ μὲ πρόρρηση, τῶν ὁποίων τὸ ἀποτέλεσμα τὸ γνωρίσαμε μὲ τὴν ἴδια τὴν πείρα. Εἶπε δηλαδὴ ὅτι θὰ παρουσιασθεῖ σ' αὐτὸν καὶ μὲ ποιὸ τρόπο θὰ φανεῖ, ἐξαιτίας ἐκείνων ποὺ ἀπειθοῦν στὴν Ἰουδαία. Πράγματι μετὰ ἀπὸ καιρὸ ὁ ἴδιος ἀδελφὸς πέφτοντας σὲ πειρασμό, δισπιστοῦσε καὶ ἔλεγε ὅτι ὁ Γέροντας δὲν ὑπάρχει καθόλου στὸ κελλί, ἀλλ' ὅτι ὁ Ἀββᾶς προσποιεῖται τὴν παρουσία του. Τότε ὁ Γέροντας, ἀφοῦ κάλεσε τὸν ἴδιο ἀδελφὸ καὶ ὅσους βρέθηκαν στὸν τόπο, ἔνιψε τὰ πόδια ὅλων (καὶ ἐγὼ ὁ ἁμαρτωλὸς ἀξιώθηκα τὸ νίψιμο)[41] καὶ μ' αὐτὸν τὸν τρόπο ἀφοῦ ἀνένηψε ὁ ἀδελφὸς καὶ θυμήθη-

41. Αὐτὸ εἶναι σημείωση τοῦ ἡγουμένου Σέριδου.

μολογήσατο ἡμῖν τὴν ἰδίαν ἀπιστίαν, καὶ τὴν πρόρρησιν τοῦ Γέροντος, καὶ πάντες ἐδοξάσαμεν τὸν Θεόν. Ἔστι δὲ ἡ ἀπόκρισις αὕτη.

Ἀδελφέ, «οὐδεὶς οἶδε τὰ τοῦ ἑτέρου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ». Ἕκαστος οἶδε τί ἔχει ἐν τῇ αὐτοῦ οἰκίᾳ καὶ τί κέκτηται ἐν τῷ βαλαντίῳ καὶ πρὸς τοῦτο ἀναλίσκει καὶ εἰς ἄλλων διατροφήν. Καὶ πρόσταξιν ἔχομεν δεσποτικήν. μὴ οἰκοδομεῖν πύργον, ἐὰν μὴ πρότερον ψηφίσωμεν τὰς δαπάνας. Ἐψήφισάς μοι τοὺς ἁγίους τοὺς πλουτήσαντας κατὰ πνεῦμα καὶ εὔφρανάς με ἐν τῇ σῇ γνώσει, ἐὰν μᾶλλον καὶ ἐν τοῖς ἔργοις. Ἐρευνῶ δὲ αὐτοὺς καὶ εὑρίσκω ὅτι, κατὰ τὴν ὑπερβολὴν τῶν καλῶν αὐτῶν πράξεων, τοσοῦτόν εἰμι κἀγὼ ἐν ταῖς κακαῖς μου πράξεσι. Κἀκεῖνοι θαρροῦντες ἐποίουν, ἐγὼ δὲ καὶ ἐκτὸς τοῦ ποιῆσαι, τρέμω γινώσκων τὰ ἐμοὶ πεπραγμένα διὰ τὸν λέγοντα «ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις;». Πυκτεύω δὲ μὴ ἀκοῦσαι τοῦ ὀνειδίζοντός με καὶ λέγοντος· «ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου» καὶ τὰ λοιπά· κοπιῶ δὲ ἐκβαλεῖν καὶ οὐκ ἰσχύω, οὐκ ἀπογινώσκω δὲ ἀλλ' ἐλπίζω ἐπιτυχεῖν.

Εἰπέ μοι, ἀδελφέ, ἐάν τις εἴπῃ τινὶ πτωχῷ ὅτι, ἄνθρωποί τινες ὑπαιτίαν δεδώκασι, δὸς καὶ αὐτὸς μηδὲν εὐπορῶν, μὴ δύναται τοῦτο ποιῆσαι; Τί δὲ πρὸς τοῦτο; ὅτι πολλοὶ διψῶντες καὶ εὑρίσκοντες τὴν τοῦ ὕδατος ἀπόλαυσιν, οὐ περιεργάζονται περὶ τῆς πηγῆς ἢ τοῦ ὑετοῦ ἢ τοῦ ποταμοῦ πόθεν ἔρχονται. Καὶ πολλοὶ ἀπολαύουσι τῆς φαιδρότητος τοῦ ἡλίου, καὶ οὐ περιεργάζονται ἢ μακρός ἐστιν, ἢ κοντός, ἢ ἀναίσθητος, ἢ αἰσθητικός. Καὶ περὶ ἄλλων στοιχείων ὡσαύτως. Καὶ περὶ τοῦ Θεοῦ ἔγραψαν οἱ Πατέρες ἐρωτηθέντες, ὅτι, 'ζήτει τὸν Κύριον καὶ μὴ ἐρεύνα ποῦ οἰκεῖ'· τί δὲ πρὸς σὲ τὸν ἀφέντα τὴν ἐπιζητουμένην σπουδὴν τὴν

42. Α' Κορ. 2,11.
43. Λουκᾶ 14,28.

κε αὐτὴ τὴν ἀπάντηση, μᾶς ἐξομολογήθηκε τὴν ἀπιστία του καὶ τὴν πρόρρηση τοῦ Γέροντα, καὶ ὅλοι δοξάσαμε τὸ Θεό. Ἡ ἀπόκριση εἶναι αὐτή.

Αδελφέ, «κανένας δὲ γνωρίζει τὰ τοῦ ἄλλου παρὰ μόνο τὸ πνεῦμα τοῦ ἀνθρώπου ποὺ βρίσκεται σ' αὐτόν»[42]. Ὁ καθένας γνωρίζει τί ἔχει στὸ σπίτι του καὶ τί ἔχει ἀποκτήσει στὸ βαλάντιό του καὶ σύμφωνα μ' αὐτὸ ξοδεύει καὶ γιὰ τὴ διατροφὴ ἄλλων. Ἔχουμε δεσποτικὴ διαταγὴ νὰ μὴ χτίζουμε πύργο, ἐὰν δὲν ὑπολογίσουμε ἀπὸ πρὶν τὶς δαπάνες[43]. Μὲ λογάριασες μεταξὺ τῶν ἁγίων ποὺ πλούτισαν πνευματικὰ καὶ μὲ εὔφρανες μὲ τὴ γνώση σου, καὶ περισσότερο θὰ μὲ εὔφρανες μὲ τὰ ἔργα. Ἐξετάζω αὐτοὺς καὶ βρίσκω ὅτι ὅσο ὑπερβολικὲς εἶναι οἱ καλὲς πράξεις ἐκείνων, τόσο ὑπερβολικὲς εἶναι οἱ δικές μου κακὲς πράξεις. Ἐκεῖνοι ἐνεργοῦσαν μὲ θάρρος καὶ ἐγὼ καὶ ὅταν δὲν ἐνεργῶ τρέμω, γνωρίζοντας τὶς δικές μου πράξεις ἐξαιτίας τοῦ λόγου· «ἐσὺ ποὺ διδάσκεις ἄλλον, δὲν διδάσκεις τὸν ἑαυτό σου;»[44]. Ἀγωνίζομαι νὰ μὴ ἀκούσω αὐτὸν ποὺ μὲ ὀνειδίζει καὶ λέγει· «ὑποκριτή, βγάλε πρῶτα τὸ δοκάρι ἀπὸ τὸ μάτι σου»[45] καὶ τὰ λοιπά· κοπιάζω νὰ τὸ βγάλω καὶ δὲν ἔχω τὴ δύναμη· δὲν ἀπελπίζομαι ὅμως, ἀλλὰ ἐλπίζω νὰ τὸ ἐπιτύχω.

Πές μου, ἀδελφέ, ἐὰν κανεὶς πεῖ σὲ κάποιον φτωχό, ὅτι μερικοὶ ἄνθρωποι ἔδωσαν ὑπαιτία, δῶσε καὶ σὺ ποὺ δὲν ἔχεις τίποτε, μήπως μπορεῖ νὰ τὸ κάνει αὐτό; Σ' αὐτὸ τί θὰ ποῦμε; Ὅτι πολλοὶ ποὺ διψοῦν καὶ βρίσκουν τὴν ἀπόλαυση τοῦ νεροῦ, δὲν ἐξετάζουν τὴν πηγὴ ἢ τὴ βροχὴ ἢ τὸ ποτάμι ἀπὸ ποῦ ἔρχονται. Καὶ πολλοὶ ἀπολαμβάνουν τὴ λάμψη τοῦ ἥλιου καὶ δὲν ἐξετάζουν ἂν εἶναι ψηλὸς ἢ κοντὸς ἢ ἀνεπαίσθητος ἢ αἰσθητικός. Τὸ ἴδιο καὶ γιὰ ἄλλα στοιχεῖα. Οἱ πατέρες, ἀφοῦ ἐρωτήθηκαν, ἔγραψαν γιὰ τὸ Θεό, νὰ ζητᾶς τὸν Κύριο καὶ νὰ μὴ ἐρευνᾶς ποῦ κατοικεῖ. Τί θὰ πῶ πρὸς ἐσένα, ποὺ ἄφησες τὴν ἀπαιτούμενη

44. Ρωμ. 2,21.
45. Ματθ. 7,5.

περὶ τῶν ἁμαρτιῶν, καὶ ἐπιποθοῦντά με ἰδεῖν, σκώληκα ὄζοντα, γῆν καὶ σποδόν;

Ὅμως κἀγώ, ἄφρων ὤν, χαίρων ἔπεμψά σοι τὴν ἀπόκρισιν, πλανώμενος καὶ δοκῶν εἶναί τι, καὶ εἰς λήθην ἔβαλον τὸ γεγραμμένον ὅτι, «ὁ δοκῶν εἶναι τι μηδὲν ὤν, ἑαυτὸν ἐξαπατᾷ», καὶ ἐπλανήθην εἰς τοῦτο καὶ ἐλάλησα μὴ ὢν ἄξιος. Σὺ ὅμως ὡς καλὸς ἐργάτης καὶ ὑπήκοος ἔργασαι, καὶ μὴ ἐπιζητήσῃς τοῦτο παρ' ἐμοῦ, ἐπιποθοῦντος ἰδεῖν καὶ ἀσπάσασθαί σε, καὶ πάντας ἀπὸ τῆς κατὰ Θεὸν ἀγάπης, καιρῷ δέ, ἐὰν πληροφορήσῃ με ὁ Θεός, ἀπ' ἐμαυτοῦ ἐπιρρίπτω καὶ καταφιλῶ πάντων ὑμῶν τὰ πέλματα, ἱκεσίας καὶ εὐχῆς χάριν τοῦ ρυσθῆναι ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ.

Μὴ ἐν μετεωρισμῷ, ἀδελφέ, δαπανήσωμεν ἡμῶν τὰς ἡμέρας, ἀλλὰ κτησώμεθα τὸ πένθος τὸ μεμεστωμένον δακρύων, ἵνα μακαρισθῶμεν καὶ ἀδολεσχήσωμεν εἰς τοὺς πτωχοὺς καὶ πρᾳεῖς, ἵνα συγκληρονόμοι γενώμεθα αὐτῶν καὶ διώξωμεν τὴν εἰρήνην μετὰ παντων, ἵνα εὑρεθῶμεν μετὰ τῶν υἱῶν τοῦ Θεοῦ καὶ βαστάσωμεν ὀνειδισμὸν καὶ ὕβριν, ἵνα πληθυνθῇ ὁ μισθὸς ἡμῶν ἐν τοῖς οὐρανοῖς. Καὶ σπουδάσωμεν ἔργοις ἀγαθοῖς ὀφθῆναι αὐτῷ, «ὅπως ἴδωσιν οἱ ἄνθρωποι τὰ καλὰ ἡμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς».

Οὐχ ὡς κατηγορῶν σου ἔγραψά σοι ταῦτα, καὶ γὰρ χρεώστην ἐμαυτὸν ἐν πολλοῖς ὀφλήμασι βλέπω, ἀλλὰ ἀδιαλείπτως προσπίπτω δεόμενος τοῦ Θεοῦ χαρίσασθαι ἐμοί τε καὶ σοὶ ἄφεσιν ἁμαρτιῶν, εὐχαῖς ἁγίων. Ἀμήν.

ΞΒ'

Ἀπόκρισις *τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν, μακαρίσαντα αὐτὸν τῆς τοιαύτης ἀρετῆς καὶ εἰπόντα*

φροντίδα σχετικὰ μὲ τὶς ἁμαρτίες, καὶ ἐπιθυμεῖς νὰ μὲ δεῖς, ἐμένα ποὺ εἶμαι σκουλήκι ποὺ μυρίζει, χῶμα καὶ στάχτη;

Ὅμως καὶ ἐγώ, ὄντας ἄμυαλος, γεμᾶτος χαρὰ σοῦ ἔστειλα τὴν ἀπάντηση, ἐπειδὴ πλανήθηκα καὶ νόμιζα ὅτι εἶμαι κάτι, καὶ ξέχασα αὐτὸ ποὺ ἔχει γραφεῖ, ὅτι «ἐκεῖνος ποὺ νομίζει ὅτι εἶναι κάτι, ἐνῶ δὲν εἶναι τίποτε, ἐξαπατᾶ τὸν ἑαυτό του»[46], καὶ πλανήθηκα σ' αὐτὸ καὶ μίλησα, ἐνῶ δὲν ἤμουν ἄξιος. Ἐσὺ ὅμως σὰν καλὸς ἐργάτης καὶ ὑπήκοος νὰ ἐργάζεσαι καὶ νὰ μὴ ζητήσεις αὐτὸ ἀπὸ μένα, ποὺ ποθῶ νὰ δῶ καὶ νὰ ἀσπασθῶ ἐσένα καὶ ὅλους μὲ τὴν ἀγάπη τοῦ Θεοῦ, ὁ ὁποῖος τὸν καιρὸ ποὺ τυχὸν θὰ πληροφορήσει ὁ Θεός, ἀπὸ μόνος μου πέφτω καὶ φιλῶ τὰ πέλματα ὅλων σας, πρὸς ἱκεσία καὶ προσευχή, γιὰ νὰ λυτρωθῶ ἀπὸ τοὺς ἀπειθεῖς στὴν Ἰουδαία.

Ἀδελφέ, νὰ μὴ ξοδέψουμε τὶς μέρες μας σὲ ἔπαρση, ἀλλὰ ν' ἀποκτήσουμε τὸ πένθος ποὺ εἶναι γεμᾶτο ἀπὸ δάκρυα, γιὰ νὰ μακαρισθοῦμε, καὶ νὰ καταγίνομε ἐπίμονα μὲ τοὺς φτωχοὺς καὶ πράους, γιὰ νὰ γίνουμε συγκληρονόμοι τους, νὰ ἐπιδιώξουμε τὴν εἰρήνη μὲ ὅλους, γιὰ νὰ βρεθοῦμε μαζὶ μὲ τοὺς υἱοὺς τοῦ Θεοῦ, καὶ νὰ ὑπομείνουμε ὀνειδισμὸ καὶ ὕβρη γιὰ νὰ αὐξηθεῖ ἡ ἀμοιβή μας στοὺς οὐρανούς. Καὶ ἂς φροντίσουμε μὲ ἀγαθὰ ἔργα νὰ παρουσιασθοῦμε σ' αὐτόν, «γιὰ νὰ δοῦν οἱ ἄνθρωποι τὰ καλά μας ἔργα καὶ νὰ δοξάσουν τὸν οὐράνιο Πατέρα μας»[47].

Δὲν σοῦ ἔγραψα αὐτὰ τὰ πράγματα γιὰ νὰ σὲ κατηγορήσω, διότι βλέπω τὸν ἑαυτό μου χρεώστη σὲ πολλὰ πράγματα, ἀλλὰ πέφτω συνέχεια καὶ παρακαλῶ τὸ Θεὸ νὰ χαρίσει σὲ μένα καὶ σὲ σένα ἄφεση ἁμαρτιῶν, μὲ τὶς εὐχὲς τῶν ἁγίων. Γένοιτο.

62

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο

ποὺ τὸν μακάρισε γι' αὐτὴ τὴν ἀρετὴ καὶ εἶπε φράσεις

---

46. Γαλ. 6,3.
47. Ματθ. 5,16.

ρήσεις ἀπὸ Γραφῆς· καὶ ἐρωτήσαντα, εἰ δεῖ παραιτεῖσθαι τὰς ὀπώρας καὶ πιστῶς καὶ εὐσχημόνως κατὰ τοὺς πατέρας διάγειν· καὶ περὶ εὐχῆς τοῦ φωτισθῆναι τοὺς ἀσθενήσαντας αὐτῷ ὀφθαλμούς.

Ἀδελφέ, εἰς ἐμὲ ἐπληρώθη διὰ σοῦ ἡ Γραφὴ λέγουσα· «λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς» καὶ τὰ λοιπά. Ὁ τοιοῦτος μακαρισμὸς οὐκ ἐᾷ ἡμᾶς ἰδεῖν τὴν αἰσχύνην τῶν ἔργων ἡμῶν, βλάπτει γὰρ ὡς νομίζω καὶ τοὺς ἐν μέτρῳ καὶ τῆς εἰς Θεὸν πίστεως ἀφίστησι. Φησὶ γάρ· «πῶς δύνασθε πιστεύειν εἰς ἐμὲ δόξαν παρὰ ἀλλήλων λαμβάνοντες;». Ὁ καταλαμβάνων τὴν ταπείνωσιν τοῦ Ἀποστόλου, ἐπιλέξεται μᾶλλον τὴν μωρίαν, ἵν' ὕστερον γένηται σοφός· ὁ γὰρ γνωστικὸν ἑαυτὸν δεικνύων καὶ οὐ μᾶλλον πνευματικόν, θαυμάζω, εἰ ἐκφεύξεται τὴν ἐκ φύσεως ὁρισθεῖσαν κατάκρισιν. Περὶ δὲ ταπεινῶν γράφει, ὅτι λαμβάνουσι χάριν. Εἴ τις ὁμολογεῖ γλυκύτητα τῶν τοῦ Θεοῦ λογίων, μὴ ἐσθίῃ δὲ ἀπ' αὐτῆς, ὁ τοιοῦτος πικρὰν αὐτὴν δείκνυσι.

Μὴ πικρὸς ὁ λόγος, ὅτι «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι»; Εἰ δὲ γλυκύς, διατί, θέλοντες πληρῶσαι τὸ ἴδιον θέλημα, ἀποβάλλομεν αὐτόν; Ὁ δεικνύων ἑαυτὸν γνωρίζοντα τὴν ὁδὸν τὴν εἰς τὴν πόλιν ἀπάγουσαν, ἢ ὡς καταφρονῶν ἐρωτᾷ, ἢ πειράζει καταγελῶν. Ἐὰν δὲ γινώσκῃ τὴν ὁδόν, μὴ θέλῃ δὲ διοδεῦσαι ἐν αὐτῇ, ὁ τοιοῦτος ὡς ἀμελέστερος κρίνεται. Εἶχε δὲ καὶ ὁ ἀββᾶς Ἀρσένιος γνῶσιν, ἀλλ' οὐκ ἐφανέρωσε· ταπεινοφρονῶν γὰρ ἔλεγε, «θέλω σωθῆναι καὶ οὐ γινώσκω πῶς».

Ἐὰν οὖν δείξῃ τις τῷ ἀδελφῷ αὐτοῦ τὴν ὁδὸν καὶ ἀμελήσῃ τοῦ πορευθῆναι ἐν αὐτῇ, αἴτιος εὑρίσκεται. Αὕτη δέ ἐστιν ἡ

---

48. Ἠσ. 3,12.
49. Ἰω. 5,44.

ἀπὸ τὴ Γραφή· καὶ τὸν ἐρώτησε, ἐὰν πρέπει νὰ ἀποφύγει τὰ ὀπωρικὰ καὶ νὰ ζεῖ πιστῶς καὶ εὐσχημόνως μὲ τοὺς πατέρες· καὶ περὶ προσευχῆς γιὰ νὰ φωτισθοῦν τὰ ἀρρωστημένα μάτια του.

Ἀδελφέ, μέσω σοῦ ἐκπληρώθηκε σὲ μένα ἡ Γραφὴ ποὺ λέγει· «λαέ μου, ἐκεῖνοι ποὺ σᾶς μακαρίζουν, σᾶς πλανοῦν»[48] καὶ τὰ λοιπά. Αὐτὸς ὁ μακαρισμὸς δὲν μᾶς ἀφήνει νὰ δοῦμε τὴν ἐντροπὴ τῶν ἔργων μας, διότι, ὅπως νομίζω, βλάπτει καὶ αὐτοὺς ποὺ ζοῦν μὲ μετριοφροσύνη καὶ τοὺς ἀπομακρύνει ἀπὸ τὴν πίστη στὸ Θεό. Διότι λέγει, «πῶς μπορεῖτε νὰ πιστεύετε σὲ μένα, ἀφοῦ δέχεσθε τιμὲς ὁ ἕνας ἀπὸ τὸν ἄλλον;»[49]. Ἐκεῖνος ποὺ φθάνει τὴν ταπείνωση τοῦ Ἀποστόλου, θὰ προτιμήσει μᾶλλον τὴ μωρία, γιὰ νὰ γίνει ὕστερα σοφός[50]· διότι αὐτὸς ποὺ δείχνει τὸν ἑαυτό του γνωστικὸ καὶ ὄχι μᾶλλον πνευματικό, ἀπορῶ ἐὰν θὰ ἀποφύγει τὴν κατάκριση τὴν ὁρισμένη ἀπὸ τὴ φύση. Ἐνῶ γιὰ τοὺς ταπεινοὺς γράφει ὅτι λαμβάνουν χάρη. Ἐὰν κάποιος ὁμολογεῖ τὴ γλυκύτητα τῶν λογίων τοῦ Θεοῦ, ὅμως δὲν τρώγει ἀπ' αὐτή, αὐτὸς τὴν δείχνει πικρή.

Μήπως εἶναι πικρὸς ὁ λόγος, «ὅποιος θέλει νὰ ἔρθει ὀπίσω μου, ν' ἀπαρνηθεῖ τὸν ἑαυτό του καὶ νὰ σηκώσει τὸν σταυρό του καὶ νὰ μὲ ἀκολουθήσει»[51]; Καὶ ἐὰν εἶναι γλυκός, γιατί, θέλοντας νὰ ἐκπληρώσουμε τὸ θέλημά μας, τὸν ἀπορρίπτουμε; Ἐκεῖνος ποὺ δείχνει τὸν ἑαυτό του ὅτι γνωρίζει τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὴν πόλη ἢ ἐρωτᾶ ἀπὸ περιφρόνηση ἢ πειράζει κοροϊδεύοντας. Ἂν ὅμως γνωρίζει τὴν ὁδὸ καὶ δὲ θέλει νὰ βαδίσει σ' αὐτήν, αὐτὸς κρίνεται σὰν πολὺ ἀμελής. Καὶ ὁ ἀββᾶς Ἀρσένιος εἶχε γνώση, ὅμως δὲν τὴ φανέρωσε· διότι ταπεινοφρονώντας ἔλεγε· 'Θέλω νὰ σωθῶ καὶ δὲν γνωρίζω πῶς'.

Ἐὰν λοιπὸν κανεὶς δείξει τὴν ὁδὸ στὸν ἀδελφό του καὶ δὲν φροντίσει νὰ πορευτεῖ σ' αὐτήν, εἶναι ἔνοχος. Αὐτὴ λοιπὸν εἶ-

---

50. Α' Κορ. 3,19.
51. Ματθ. 16,24.

Ὅλα λοιπὸν γίνονται γιὰ τὸ συμφέρον σου, γιὰ νὰ ἔχεις καὶ ἐσὺ παρρησία ἀπὸ τοὺς ἁγίους, καὶ ἀπὸ τοὺς δικούς σου κόπους, ἀπὸ τοὺς ὁποίους μὴ ντρέπεσαι νὰ προσφέρεις τοὺς πρώτους καρπούς.

Μὴ προμηθεύσεις λοιπὸν στὸν ἑαυτό σου λύπη ἀντὶ γιὰ πνευματικὴ χαρά, καὶ θεώρα ἀξιόπιστο τὸν ὑποσχόμενο[50], διότι τὰ ἐκπληρώνει.

Ὑγίαινε ἐν Κυρίῳ, ἀγαπητέ.

201

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ὅταν ἔπεσε σὲ πολλὴ ἀθυμία.

Ἀδελφὲ Ἀνδρέα, ὁ φιλάνθρωπος Θεός μας εἴθε νὰ μὴ ἐπιτρέψει στὸν μισόκαλο ἐχθρὸ νὰ σπείρει σὲ σένα τὴ λύπη καὶ τὴν ἀθυμία του, γιὰ νὰ μὴ σὲ φέρει σὲ ἀπόγνωση γιὰ τὰ ὑποσχόμενα διὰ τοῦ ἁγίου Πνεύματος ἀπὸ τὸν εὐ-

---

49. Γεν. 3,19.
50. Ἑβρ. 10,23.

εὐλογημένου Θεοῦ, ἀλλ' ἀνοίξοι σου τὴν καρδίαν τοῦ συνιέναι τὰς Γραφάς, καθὼς ἤνοιξε τὴν καρδίαν τῶν περὶ Κλεώπαν.

Πῶς ὁ Θεὸς μετὰ τὰς πρὸς τὸν ἅγιον καὶ πατριάρχην Ἀβραὰμ ἐπαγγελίας, πάλιν ἐπείραζεν αὐτόν; Φησὶ γάρ, ὅτι καὶ μετὰ τὰ ῥήματα ταῦτα, τῶν ἐπαγγελιῶν λέγω, τὸν φίλον αὐτοῦ τὸν ἱερατεύσαντα αὐτῷ τὴν τηλικαύτην θυσίαν, τὸν ἄξιον παθεῖν δεινὸν οὐδέν, ᾧ τὴν πίστιν εἰς δικαιοσύνην ἐλογίσατο, τὸν τηλικοῦτον εἴασεν εἰς πειρασμὸν ἐμπεσεῖν πρὸς δοκιμὴν αὐτοῦ καὶ ἀναπολογησίαν τῶν δυνάμεων τοῦ σκότους, εἰς τὸ εἶναι ὑπογραμμὸν τοῖς πιστοῖς, ὅτι διὰ πολλῶν θλίψεων μέλλουσιν εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· οἳ διὰ τῆς αὐτῶν ὑπομονῆς κτῶνται τὰς ψυχὰς αὐτῶν, ἐν παντὶ εὐχαριστοῦντες.

Σὺν τούτοις λάβε ἐν νῷ καὶ τὸν ἐν ἁγίοις Ἰώβ, τὸν γνήσιον φίλον τοῦ Θεοῦ, τὸν ἀληθινὸν καὶ ἄμεμπτον καὶ δίκαιον, θεοσεβῆ τε καὶ ἀπεχόμενον ἀπὸ παντὸς πονηροῦ πράγματος, τὸν ἀνάξιον τοῦ παθεῖν κακόν· τοῦτον παρέδωκε πειρασθῆναι πρὸς δοκιμὴν ἀρετῆς, ἕως οὗ ἔδειξε τοὺς ἐχθροὺς αὐτοῦ καὶ κατηγόρους κατησχυμένους καὶ ἀναπολογήτους, ἐν τῷ ἐλέγχεσθαι παρ' αὐτοῦ.

Λάβε δὲ εἰς στηριγμὸν πίστεως, καὶ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν καὶ τελειωτὴν Ἰησοῦν, τὸν λυτρωσάμενον ἡμᾶς ἐκ τῆς δοθείσης κατάρας. Πῶς ἐλθὼν ἐπὶ τὴν ὥραν τοῦ σταυροῦ, δεικνύων ἡμῖν ὁδὸν ὑπομονῆς καὶ σωτηρίας, ἔλεγε, «Πάτερ, εἰ δυνατὸν ἀπελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· ἀλλ' ὅμως οὐχ ὡς θέλω, ἀλλ' ὡς θέλεις». Τοῦτο δὲ δι' ἡμᾶς ἐποίη-

---

51. Λουκᾶ 24,32.
52. Γεν. 22,1.
53. Γεν. 15,6. Ρωμ. 4,3.
54. Πράξ. 14,22.

λογημένο Θεό, πρὸς ἐσένα τὸν ἀγαπητό, ἀλλὰ νὰ ἀνοίξει τὴν καρδιά σου, ὥστε νὰ καταλάβεις τὶς Γραφές, ὅπως ἄνοιξε τὴν καρδιὰ τῶν συντρόφων τοῦ Κλεώπα[51].

Πῶς ὁ Θεός, μετὰ τὶς ὑποσχέσεις στὸν ἅγιο Πατριάρχη Ἀβραάμ, πάλι τὸν ἐπείραζε[52]; Διότι λέγει, ὅτι καὶ μετὰ ἀπὸ αὐτὰ τὰ λόγια, τὶς ὑποσχέσεις δηλαδή, τὸν φίλο του ποὺ τοῦ πρόσφερε τὴν τόση μεγάλη θυσία, αὐτὸν ποὺ ἄξιζε νὰ μὴ πάθει κανένα κακό, καὶ τοῦ ὁποίου τὴν πίστη ὑπολόγισε γιὰ δικαίωση[53], αὐτὸν τὸν τόσο μεγάλον, ἄφησε νὰ πέσει σὲ πειρασμὸ πρὸς δοκιμασία αὐτοῦ καὶ ἀναπολογησία τῶν δυνάμεων τοῦ σκότους, γιὰ νὰ εἶναι παράδειγμα στοὺς πιστούς, ὅτι μὲ πολλὲς θλίψεις πρόκειται νὰ εἰσέλθουν στὴ βασιλεία τοῦ Θεοῦ[54], οἱ ὁποῖοι μὲ τὴν ὑπομονή τους κερδίζουν τὶς ψυχές τους[55], εὐχαριστώντας γιὰ τὸ κάθε τι[56].

Μαζὶ μ' αὐτὰ σκέψου καὶ τὸν Ἰώβ, τὸν γνήσιο φίλο τοῦ Θεοῦ, τὸν ἀληθινὸ καὶ ἄμεμπτο καὶ δίκαιο καὶ θεοσεβῆ, ποὺ ἀπεῖχε ἀπὸ κάθε πονηρὸ πρᾶγμα[57], τὸν ἀνάξιο νὰ πάθει κακό· αὐτὸν τὸν ἄφησε νὰ πειραχθεῖ γιὰ δοκιμασία τῆς ἀρετῆς, ὡς ποὺ ἔδειξε τοὺς ἐχθροὺς καὶ κατηγόρους του καταντροπιασμένους καὶ ἀναπολόγητους, κατὰ τὸν ἔλεγχο ἀπὸ αὐτόν.

Λάβε ὅμως γιὰ στήριξη τῆς πίστεως καὶ τὸν ἀρχηγὸ τῆς σωτηρίας μας καὶ τελειωτὴ Ἰησοῦ[58], ποὺ μᾶς λύτρωσε ἀπὸ τὴν κατάρα[59] ποὺ μᾶς δόθηκε. Πῶς, ἀφοῦ ἦλθε στὴν ὥρα τοῦ σταυροῦ, δείχνοντας σὲ μᾶς τὸν δρόμο τῆς ὑπομονῆς καὶ τῆς σωτηρίας ἔλεγε· «Πάτερ, ἐὰν εἶναι δυνατὸν νὰ ἀποφευχθεῖ ἀπὸ μένα αὐτὸ τὸ ποτήρι· ἀλλὰ ὅμως ὄχι ὅπως ἐγὼ θέλω, ἀλλὰ ὅπως θέλεις ἐσύ»[60]. Αὐτὸ ἔκανε σὲ μᾶς αὐτὸς ποὺ ἐπιτίμησε τὸν Πέτρο ποὺ τοῦ εἶπε, «ὁ Θεὸς νὰ σὲ εὐσπλαχνισθεῖ Κύριε,

---

55. Λουκᾶ 21,19.
56. Α' Θεσ. 5,18.
57. Ἰὼβ 1,1.
58. Ἑβρ. 12,2.
59. Γαλ. 3,13.
60. Ματθ. 26,39.

σεν ὁ ἐπιτιμήσας τῷ Πέτρῳ εἰπόντι αὐτῷ, «ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο», ὡς ὢν ἕτοιμος καὶ εὐπροαίρετος τοῦ παθεῖν, ἀλλὰ διὰ τὴν ἀσθένειαν ἡμῶν ηὔξατο ποτήριον, ἵνα μὴ ἐκκακήσωμεν προσευχόμενοι, κἂν πρὸς τὸ παρὸν διὰ τὴν προσευχὴν μὴ εἰσακουόμενοι.

Ψηλαφήσωμεν οὖν τοῦ Σωτῆρος ἡμῶν τὰ πάθη, ἀνθρώπου γενομένου, καὶ συνυπομείνωμεν αὐτῷ τὰ ὀνείδη, τὰ στίγματα, τὴν ἐξουδένωσιν, τὴν καταφρόνησιν, τὸν ἐμπτυσμόν, τὴν ὕβριν τῆς χλαμύδος, τὴν πομπὴν τοῦ ἀκανθίνου στεφάνου, τὸ ὄξος τὸ μετὰ πικρίας, τὴν ἀλγηδόνα τῆς πήξεως τῶν ἥλων, τὴν νύξιν τῆς λόγχης, καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ λάβε ἀνάψυξιν τῶν ἀλγηδόνων σου· οὐ γὰρ ἀφῇ εἶναι κενὸν τὸν κόπον σου.

Ἵνα δὲ μή, βλέπων τοὺς ἁγίους ἐν τῇ ὥρᾳ ἐκείνῃ βαστάζοντας τοὺς καρποὺς τῆς ὑπομονῆς τῶν θλίψεων καὶ καυχωμένους, ἄμοιρος αὐτῶν εὑρεθῇς, ἀφῆκέ σε μικρὸν ὑπενεγκεῖν κόπον, ἵνα συγκοινωνὸς αὐτῶν καὶ τοῦ Ἰησοῦ γένῃ, ἔχων παρρησίαν ἐνώπιον αὐτοῦ μετὰ τῶν ἁγίων.

Μὴ οὖν λυπηθῇς, οὐ γὰρ ἐπελάθετό σου ὁ Θεός, ἀλλὰ φροντίζει σου ὡς γνησίου καὶ οὐχ ὡς νόθου υἱοῦ· καλῶς ἑστήκεις ἐὰν προσέχῃς σεαυτῷ ἀσφαλῶς, τοῦ μὴ ἐκπεσεῖν τοῦ φόβου καὶ τῆς εὐχαριστίας τοῦ Θεοῦ. Μακάριος δὲ εἶ, εἰ μετὰ ἀληθείας ἐγένου καὶ ξένος καὶ πτωχός· τοιοῦτοι γάρ εἰσι κληρονόμοι τῆς βασιλείας τοῦ Θεοῦ. Ἀνδρίζου καὶ ἴσχυε ἐν Κυρίῳ»· τὰ αὐτὰ γὰρ εἰπεῖν σοι οὐκ ὀκνῶ, ἃ παράσχοι σοι ὁ Κύριος.

Εὖξαι ὑπὲρ ἐμοῦ.

ΣΒ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα,

νὰ μὴ σοῦ συμβεῖ αὐτό»[61], ἐπειδὴ ἦταν ἕτοιμος καὶ διατεθειμένος νὰ πάθει· ἀλλὰ ἐξαιτίας τῆς ἀσθένειάς μας προσευχήθηκε νὰ πιεῖ τὸ ποτήρι τοῦ θανάτου, γιὰ νὰ μὴ ἀποθαρρυνόμαστε προσευχόμενοι, ἀκόμα καὶ ἂν πρὸς τὸ παρὸν δὲν εἰσακούεται ἡ προσευχή μας.

Ἂς ψηλαφήσουμε λοιπὸν τὰ πάθη τοῦ Σωτήρα μας, ποὺ ἔγινε ἄνθρωπος, καὶ ἂς ὑπομείνουμε μαζὶ μ' αὐτὸν τοὺς πόνους, τὰ στίγματα, τὴν ἐξουθένωση, τὴν περιφρόνηση, τὸν ἐμπτυσμό, τὴν ὕβρη τῆς χλαμύδας, τὴν πομπὴ μὲ τὸν ἀκάνθινο στέφανο, τὸ ξύδι μαζὶ μὲ τὴ χολή, τὸν πόνο τοῦ πηξίματος τῶν καρφιῶν, τὸ κέντημα τῆς λόγχης, καὶ τὸ νερὸ καὶ τὸ αἷμα, καὶ λάβε ἀνακούφιση ἀπὸ τοὺς πόνους σου· διότι δὲν θὰ ἀφήσει νὰ εἶναι κενὸς ὁ κόπος σου.

Καὶ γιὰ νὰ μὴ βρεθεῖς ἄμοιρος τῶν καρπῶν, ὅταν θὰ δεῖς τοὺς ἁγίους ἐκείνη τὴν ὥρα νὰ βαστάζουν τοὺς καρποὺς τῆς ὑπομονῆς τῶν θλίψεων καὶ νὰ καυχῶνται, σὲ ἄφησε νὰ ὑποφέρεις λίγο κόπο, γιὰ νὰ γίνεις συγκοινωνὸς αὐτῶν καὶ τοῦ Ἰησοῦ, ἔχοντας παρρησία μαζὶ μὲ τοὺς ἁγίους ἐνώπιόν του.

Μὴ λυπηθεῖς λοιπόν, διότι ὁ Θεὸς δὲν σὲ ξέχασε, ἀλλὰ σὲ φροντίζει σὰν γνήσιο υἱὸ καὶ ὄχι σὰν νόθο. Θὰ στέκεσαι καλά, ἐὰν προσέχεις τὸν ἑαυτό σου μὲ ἀσφάλεια, ὥστε νὰ μὴ πέσεις ἀπὸ τὸν φόβο καὶ τὴν εὐχαριστία τοῦ Θεοῦ. Καὶ θὰ εἶσαι μακάριος, ἐὰν γινόσουν πραγματικὰ ξένος καὶ φτωχός, διότι τέτοιοι εἶναι οἱ κληρονόμοι τῆς βασιλείας τοῦ Θεοῦ. «Γίνε ἀνδρεῖος καὶ δυνατὸς ἐν Κυρίῳ»[62], διότι δὲν διστάζω νὰ σοῦ πῶ τὰ ἴδια, ποὺ εἴθε νὰ σοῦ τὰ δώσει ὁ Κύριος.

Προσευχήσου γιὰ μένα.

202

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα

---

61. Ματθ. 16,22.
62. Δευτ. 31,6.

αἴτησις περὶ στηριγμοῦ καρδίας καὶ ἀφέσεως τῶν ἀπὸ γεννήσεως αὐτοῦ ἁμαρτιῶν.

Ἀπόκρισις

Ὁ Κύριος Ἰησοῦς ἔσται σοι ἴασις καὶ στήριγμα ψυχῇ καὶ σώματι, καὶ στηρίξοι σου τὴν καρδίαν πρὸς τὸ μὴ κατακυριεῦσαί σου τὸν μισόκαλον καὶ μισάνθρωπον διάβολον. Περὶ δὲ τῆς ἀφέσεως τῶν ἀπὸ γεννήσεως ἕως τῆς δεῦρο, τοῦτο χαρίζεταί σοι ὁ Θεὸς μετὰ τεσσαράκοντα ἡμέρας, διὰ τὸ εἶναί σε συγκοινωνὸν τῶν δεήσεών μου, ἐν τῷ τοιούτῳ χαρίσματι, διὰ τῆς μικρᾶς σου ὑπομονῆς.

Ἀνδρίζου οὖν ἐν Κυρίῳ καὶ ἴσχυε· ὁ Κύριος μετὰ σοῦ ὁ μέγας ἰατρὸς ψυχῶν καὶ σωμάτων.

Εἰρήνη σοι ἐν Κυρίῳ, ἀδελφέ.

ΣΓ'

***Ἀπόκρισις** τοῦ ἄλλου γέροντος Ἰωάννου πρὸς τὸν αὐτόν.*

Εἰ εἰς τὰ κοσμικὰ μακαρίζουσιν ἄνθρωποι τὸν πλουτοῦντα, πολὺ πλέον μακαρίζω σου τὴν ἀγάπην πλουτήσασαν κατὰ Θεόν, διὰ τῶν δεήσεων τοῦ εὐλογημένου πατρὸς ἡμῶν. Τοίνυν εἰ μὴ ἡ προσευχὴ αὐτοῦ προκατέλαβε καὶ εἶπεν, 'ἐνδυναμώθητι καὶ ἀνδρίζου καὶ ἴσχυε', ἐπικίνδυνον εἶχες ἀρρωστίαν ἀρρωστῆσαι, διὰ μικρὰν ἀμέλειαν καὶ μικροψυχίαν τοῦ φυλάξαι τὴν μακροθυμίαν καὶ τὴν ὑπομονὴν μετὰ τῶν λογισμῶν σου καὶ μετὰ τῶν ὑπηρετούντων σοι, μνημονεύων τοῦ Ἀποστόλου λέγοντος «ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ».

Ὡς οὖν ἀγαπῶν σε ὁ Κύριος ἐπαίδευσε μετὰ ἐλέους, διὰ τὴν εὐχὴν τοῦ δούλου αὐτοῦ, ἵνα διὰ τῆς μικρᾶς ταύτης παιδείας συνεργήσῃς τῇ δεήσει αὐτοῦ, καὶ λογίζεταί σοι εἰς ἐργασίαν, ἵνα

γιὰ στήριξη τῆς καρδιᾶς καὶ ἄφεση τῶν ἀπὸ γεννήσεως ἁμαρτιῶν του.

Ἀπόκριση

Ο Κύριος Ἰησοῦς θὰ σοῦ εἶναι γιατρειὰ καὶ στήριγμα στὴν ψυχὴ καὶ στὸ σῶμα καὶ εἴθε νὰ στηρίξει τὴν καρδιά σου γιὰ νὰ μὴ σὲ κατακυριεύσει ὁ μισόκαλος καὶ μισάνθρωπος διάβολος. Τὴν ἄφεση τῶν ἀπὸ τὴ γέννησή σου μέχρι τώρα ἁμαρτιῶν θὰ σοῦ χαρίσει ὁ Θεὸς μετὰ ἀπὸ σαράντα ἡμέρες, γιὰ νὰ εἶσαι συγκοινωνὸς τῶν δεήσεών μου σ' αὐτὸ τὸ χάρισμα, μὲ τὴ μικρὴ ὑπομονή σου.

Γίνε ἀνδρεῖος καὶ δυνατὸς ἐν Κυρίῳ[63]. Ὁ Κύριος, ὁ μεγάλος ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων νὰ εἶναι μαζί σου.

Ἀδελφέ, εἰρήνη σὲ σένα ἐν Κυρίῳ.

203

Ἀπόκριση τοῦ ἄλλου γέροντα Ἰωάννη πρὸς τὸν ἴδιο.

Εὰν οἱ ἄνθρωποι στὰ κοσμικὰ μακαρίζουν τὸν πλούσιο, ἐγὼ μακαρίζω περισσότερο τὴν ἀγάπη σου ποὺ πλούτησε σύμφωνα μὲ τὸ Θεὸ μὲ τὶς δεήσεις τοῦ εὐλογημένου Πατέρα μας. Ἐὰν λοιπὸν ἡ προσευχή του δὲν προλάβαινε καὶ δὲν ἔλεγε, 'δυναμώσου καὶ γίνε ἀνδρεῖος καὶ δυνατός', θὰ ἀρρωστοῦσες ἐπικίνδυνη ἀσθένεια ἀπὸ μικρὴ ἀμέλεια καὶ μικροψυχία νὰ φυλάξεις τὴ μακροθυμία καὶ τὴν ὑπομονὴ μὲ τοὺς λογισμούς σου καὶ μ' αὐτοὺς ποὺ σὲ ὑπηρετοῦν, ἐνθυμούμενος τὸν Ἀπόστολο ποὺ λέγει, «νὰ βαστάζετε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου καὶ ἔτσι θὰ ἐκπληρώσετε τὸν νόμο τοῦ Χριστοῦ»[64].

Ἐπειδὴ λοιπὸν ὁ Κύριος σὲ ἀγαπᾶ, σὲ ἐπαίδευσε μὲ ἔλεος, ἐξαιτίας τῆς προσευχῆς τοῦ δούλου του, γιὰ νὰ συνεργήσεις καὶ σὺ μὲ αὐτὴ τὴ μικρὴ παιδαγωγία στὴ δέησή του, καὶ σοῦ τὸ

63. Δευτ. 31,6.
64. Γαλ. 6,2.

φιμωθῇ τὸ στόμα τοῦ ἐχθροῦ, μήποτε εἴπῃ, 'εἰ ἐπειράσθη εἰς παιδείαν, αὐτομολῆσαι εἶχε'.

Μὴ οὖν λυπηθῇς, ὡς γὰρ ἤκουσας παρὰ τοῦ Γέροντος, γίνεταί σοι. Ἀνδρίζου οὖν κατὰ τὸν λόγον αὐτοῦ καὶ ἴσχυε.

ΣΔ'

Ὁ αὐτὸς γέρων λυτρωθεὶς ἐκ τῶν πειρασμῶν διὰ τῶν εὐχῶν τοῦ ἁγίου Γέροντος καὶ τῆς πνευματικῆς αὐτοῦ διδασκαλίας, ἔπεμψεν εὐχαριστῶν αὐτῷ.

***Ἀπόκρισις** Βαρσανουφίου*

Τῷ Θεῷ τῆς δόξης ἀνάπεμψον πᾶσαν δοξολογίαν καὶ ὑμνήσωμεν αὐτὸν εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἡμῖν γὰρ οὐ πρέπει δόξα, ἀλλ' αὐτῷ μόνῳ, καὶ τῷ Υἱῷ αὐτοῦ, καὶ τῷ Πνεύματι αὐτοῦ τῷ ἁγίῳ. Ἤγαγεν ὁ Θεὸς τὴν ἀγάπην σου πρὸς τὴν ἡμῶν ἀσθένειαν, ἵνα βοήθειαν κατὰ Θεὸν σχῶμεν δι' ἀλλήλων, θέλων καὶ εἰς ἡμᾶς πληρῶσαι τὴν λέγουσαν γραφήν, «ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ τετειχισμένη». Γένοιτο δὲ ὑμῖν πᾶσι βοηθῆναι ὑπὸ τοῦ ἀδελφοῦ ἡμῶν, τοῦ μεγάλου Ἰησοῦ λέγω, εὐδόκησε γὰρ ἵνα ἀδελφοὺς ἡμᾶς ἑαυτῷ ποιήσῃ, καὶ ἐσμὲν καὶ μακαριζόμεθα ὑπὸ τῶν ἀγγέλων.

Οἷον ἔχομεν ἀδελφὸν δυνατόν, ἵνα ἐνδυναμώσῃ ἡμᾶς, ἰσχυρόν, ἵνα μερίσῃ ἡμῖν τὰ σκῦλα, ἀρχιστράτηγον, ἵνα συντρίψῃ ἐν πολέμῳ τοὺς πολεμοῦντας ἡμᾶς ἐχθρούς, ἰατρόν, ἵνα θεραπεύσῃ τὸν ἔσω ἡμῶν ἄνθρωπον μετὰ τοῦ ἔξω ἀνθρώπου, ὑποταγέντος αὐτῷ, τροφέα, τρέφοντα ἡμᾶς τῇ πνευματικῇ τροφῇ, ζῶντα, ἵνα ζωώσῃ ἡμᾶς, ἐλεήμονα, ἵνα ἡμᾶς ἐλεήσῃ, οἰκτίρμονα, ἵνα ἡμᾶς

65. Δευτ. 31,6.

ὑπολογίζει γιὰ ἐργασία, γιὰ νὰ φιμωθεῖ τὸ στόμα τοῦ ἐχθροῦ, μὴ τυχὸν πεῖ, 'ἂν πειραζόταν μὲ δοκιμασία θὰ ἀποστατοῦσε'.

Μὴ λυπηθεῖς λοιπόν, διότι ὅ,τι ἄκουσες ἀπὸ τὸν Γέροντα, θὰ σοῦ γίνει. Γίνε λοιπὸν ἀνδρεῖος καὶ δυνατὸς[65], σύμφωνα μὲ τὸ λόγο του.

204

Ὁ ἴδιος γέροντας, ὅταν λυτρώθηκε ἀπὸ τοὺς πειρασμοὺς μὲ τὶς προσευχὲς τοῦ ἁγίου Γέροντα καὶ τὴν πνευματική του διδασκαλία, ἔστειλε νὰ τὸν εὐχαριστήσει.

Ἀπόκριση Βαρσανουφίου

Στεῖλε στὸ Θεὸ τῆς δόξας κάθε δοξολογία καὶ θὰ τὸν ὑμνήσουμε στοὺς αἰῶνες. Γένοιτο. Διότι ἡ δόξα δὲν ἁρμόζει σ' ἐμᾶς, ἀλλὰ μόνο σ' αὐτὸν καὶ στὸν Υἱό του καὶ στὸ ἅγιο Πνεῦμα του. Ὁ Θεὸς ὁδήγησε τὴν ἀγάπη σου πρὸς τὴν ἀσθένειά μας γιὰ νὰ ἔχουμε βοήθεια ὁ ἕνας ἀπὸ τὸν ἄλλο σύμφωνα μὲ τὸ Θεό, θέλοντας νὰ πραγματοποιήσει καὶ σὲ μᾶς τὴ γραφὴ ποὺ λέγει, «ὁ ἀδελφὸς ποὺ βοηθεῖται ἀπὸ τὸν ἀδελφό, εἶναι σὰν ὀχειρὴ καὶ περιτειχισμένη πόλη»[66]. Εἴθε νὰ γίνει σὲ ὅλους ἐσᾶς νὰ βοηθηθεῖτε ἀπὸ τὸν ἀδελφό μας, ἐννοῶ τὸν μεγάλο Ἰησοῦ, διότι εὐδόκησε νὰ μᾶς κάνει ἀδελφούς του, καὶ εἴμαστε καὶ μακαριζόμαστε ἀπὸ τοὺς ἀγγέλους.

Ἔχουμε ἀδελφὸ δυνατὸ γιὰ νὰ μᾶς δυναμώσει, ἰσχυρὸ γιὰ νὰ μοιράσει τὰ λάφυρα[67], ἀριστράτηγο γιὰ νὰ συντρίψει στὸν πόλεμο τοὺς ἐχθροὺς ποὺ μᾶς πολεμοῦν, γιατρὸ γιὰ νὰ γιατρέψει τὸν ἐσωτερικό μας ἄνθρωπο μαζὶ μὲ τὸν ἐξωτερικό, ἀφοῦ ὑποταχθεῖ σ' αὐτόν, τροφέα ποὺ μᾶς τρέφει μὲ τὴν πνευματικὴ τροφή, ζωντανὸ γιὰ νὰ μᾶς ζωντανέψει, ἐλεήμονα γιὰ νὰ μᾶς

---

66. Παρμ. 18,19.
67. Λουκᾶ 11,22.

οἰκτειρήσῃ, βασιλέα, ἵνα ἡμᾶς βασιλεῖς ποιήσῃ, Θεόν, ἵνα καὶ ἡμᾶς θεοὺς ποιήσῃ.

Εἰδὼς οὖν ὅτι πάντα ἐν αὐτῷ, αὐτοῦ δεήθητι· οἶδε γὰρ ὧν χρείαν ἔχεις, καὶ πρὸ τοῦ αἰτῆσαι αὐτὸν καὶ αὐτὸς παρέχει τὰ αἰτήματα τῆς καρδίας σου μὴ ἐμποδίζοντός σου· καὶ αὐτῷ πάντοτε τὴν δοξολογίαν ἀνάπεμψον. Ὅτι αὐτῷ ἡ δόξα πρέπει εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ, ἵνα γνῶ τὴν ἀσθένειάν μου καὶ ταπεινωθῶ.

ΣΕ'

Αἴτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα περὶ τῆς ἀβροχίας καὶ τῆς χρονίας αὐτοῦ σιωπῆς.*

Ἀπόκρισις

Οὐδὲν ἀκαίρως ποιεῖ ὁ Θεός, ἀλλὰ πάντα πρὸς τὸ συμφέρον τοῖς ἀνθρώποις· καὶ εἰ ἐκώλυσε τὸν ὄμβρον, πρὸς παιδείαν αὐτῶν, καὶ πάλιν ἐλεεῖ καὶ πέμπει αὐτόν. Οὕτως, εἰ καὶ πρὸς καιρὸν ἐκωλύθη ὁ λόγος, ἵνα αἰσθανθῶσί τινες, ἀλλὰ μᾶλλον οὐκ ᾐσθάνθησαν, πάλιν ἐπιτρέπει ὁ Θεὸς καὶ λαλεῖται ὁ λόγος, κατὰ τὴν χρείαν πρὸς ὠφέλειαν.

ΣS'

Αἴτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Παρακαλῶ σε, πάτερ ὅσιε, πληρῶσαι εἰς ἐμὲ τὰς ἁγίας σου ἐπαγγελίας περὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν.

ἐλεήσει, οἰκτίρμονα γιὰ νὰ μᾶς οἰκτειρήσει, βασιλιὰ γιὰ νὰ μᾶς κάνει βασιλεῖς, Θεὸ γιὰ νὰ μᾶς κάνει θεούς.

Γνωρίζοντας λοιπὸν ὅτι ὅλα βρίσκονται σ' αὐτόν, παρακάλεσέ τον, διότι γνωρίζει αὐτὰ ποὺ ἔχεις ἀνάγκη πρὶν τοῦ τὰ ζητήσεις[68] καὶ παρέχει τὰ αἰτήματα τῆς καρδιᾶς σου ὅταν δὲν τὸν ἐμποδίζεις, καὶ ἀνάπεμπε πάντοτε σ' αὐτὸν τὴ δοξολογία. Διότι ἡ δόξα ἁρμόζει σ' αὐτὸν στοὺς αἰῶνες. Γένοιτο.

Προσευχήσου γιὰ μένα ἀδελφέ, γιὰ νὰ γνωρίσω τὴν ἀσθένειά μου καὶ νὰ ταπεινωθῶ.

205

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα
γιὰ τὴν ἀβροχία καὶ τὴ χρόνια σιωπή του.

Ἀπόκριση

Ὁ Θεὸς δὲν κάνει τίποτα ἄκαιρα, ἀλλὰ πάντα γιὰ το συμφέρον τῶν ἀνθρώπων· καὶ ἐὰν ἐμπόδισε τὴ βροχή, γιὰ παιδαγωγία τους, πάλι θὰ εὐσπλαγχνισθεῖ καὶ θὰ τὴ στείλει. Ἐπίσης, ἐὰν πρόσκαιρα ἐμποδίσθηκε ὁ λόγος, γιὰ νὰ ἔλθουν σὲ συναίσθηση μερικοί, ἀλλὰ μᾶλλον δὲν ἦλθαν σὲ συναίσθηση, ὁ Θεὸς θὰ ἐπιτρέψει πάλι καὶ ὁ λόγος θὰ λαλεῖται σύμφωνα μὲ τὴν ἀνάγκη γιὰ ὠφέλεια.

206

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Σὲ παρακαλῶ, ὅσιε πάτερ, νὰ πραγματοποιήσεις σὲ μένα τὶς ἅγιές σου ἐπαγγελίες γιὰ ἄφεση τῶν ἁμαρτιῶν.

---

68. Ματθ. 6,8.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις»· ὅτι, ἐὰν ἑτοιμάσῃς σεαυτὸν πρὸς ὑποδοχὴν τῶν αἰτήσεών σου, λήψῃ διὰ τοῦ πολλοῦ σου κόπου καὶ τῆς ἐμῆς ἀσθενείας. Ἡγοῦμαι γὰρ τὰ κέρδη καὶ τὴν ὠφέλειαν παντὸς ἀνθρώπου καὶ πάσης ψυχῆς ἐμὰ εἶναι· ἡδέως καὶ καιόμενος σπένδομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς οἶδεν ὁ μόνος γινώσκων τὰς καρδίας ἡμῶν Θεός· καὶ οἶδα καὶ πέπεισμαι, ὅτι μὴ ἀπολέσωμεν τὸν κόπον.

Ἔχε οὖν τὸ θάρσος, ὅτι λαμβάνεις τὰς αἰτήσεις, ἀλλὰ λαμβάνων φύλαξαι τοῦ μεῖναι παρὰ σοὶ τὴν χάριν· πολλοὶ γὰρ ἔφθασαν λαβεῖν καὶ μετὰ τὸ λαβεῖν ἐξέπεσον, ὅτι οὐκ ἐφύλαξαν εἴ τι ἔλαβον μετὰ φόβου.

Γενοῦ οὖν ἐπιθυμητὴς ἀγαθῶν καὶ τηρητής· δοῦλος εὐάρεστος τῷ Δεσπότῃ σου· μαθητὴς ταπεινὸς τοῦ διὰ σὲ ταπεινώσαντος ἑαυτόν· ὑπήκοος τοῦ ὑπηκόου· ἀνεξίκακος τοῦ ἀνεξικάκου· μακρόθυμος τοῦ μακροθύμου· ἐλεήμων τοῦ ἐλεήμονος, τὰ βάρη βαστάζων τοῦ πλησίον, ὡς καὶ αὐτός σου τὰ βάρη ἐβάστασεν, ἀγαπῶν πάντας εἰλικρινῶς, ὡς καὶ αὐτὸς ἡμᾶς ἠγάπησεν, ἀκολουθῶν αὐτῷ ἐν πᾶσιν, ἕως οὗ λάβῃ σε εἰς τὴν μεγάλην αὐτοῦ ἀνάπαυσιν, «ὅπου ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὖξαι ὑπὲρ ἐμοῦ, μοναχέ.

ΣΖ'

Ὁ αὐτὸς ᾔτησε τὸν μέγαν Γέροντα τὰ αὐτά.

69. Ἐφ. 1,3.

Ἀπόκριση Βαρσανουφίου

Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ποὺ μᾶς εὐλόγησε μὲ κάθε πνευματικὴ εὐλογία στὰ ἐπουράνια»[69]· διότι ἐὰν ἑτοιμάσεις τὸν ἑαυτό σου γιὰ ὑποδοχὴ τῶν παρακλήσεών σου, θὰ τὶς πάρεις γιὰ τὸν πολὺ κόπο σου καὶ τὴ δική μου ἀσθένεια. Διότι νομίζω ὅτι τὰ κέρδη καὶ ἡ ὠφέλεια κάθε ἀνθρώπου καὶ κάθε ψυχῆς εἶναι δικά μου· καὶ καιγόμενος, θυσιάζομαι εὐχάριστα[70] γιὰ τὶς ψυχές σας, ὅπως γνωρίζει ὁ Θεός, ὁ μόνος ποὺ γνωρίζει τὶς καρδιές μας καὶ γνωρίζω καὶ ἔχω πεποίθηση ὅτι δὲ θὰ χάσουμε τὸν κόπο.

Ἔχε λοιπὸν τὸ θάρρος, ὅτι θὰ πάρεις τὶς αἰτήσεις, ἀλλὰ ὅταν τὶς πάρεις, φύλαξέ τες, ὥστε νὰ μείνει κοντά σου ἡ χάρη· διότι πολλοὶ κοτόρθωσαν νὰ πάρουν καὶ μετὰ ἀπὸ τὴν παραλαβὴ ἔπεσαν, ἐπειδὴ δὲν φύλαξαν ὅ,τι πῆραν μὲ φόβο.

Γίνε λοιπὸν ἐπιθυμητὴς ἀγαθῶν καὶ τηρητής· εὐάρεστος δοῦλος στὸν Δεσπότη σου· ταπεινὸς μαθητὴς αὐτοῦ ποὺ ταπείνωσε γιὰ σένα τὸν ἑαυτό του· ὑπήκοος τοῦ ὑπηκόου· ἀνεξίκακος τοῦ ἀνεξίκακου· μακρόθυμος τοῦ μακρόθυμου· ἐλεήμων τοῦ ἐλεήμονα, βαστάζοντας τὰ βάρη τοῦ πλησίον, ὅπως καὶ ἐκεῖνος βάσταξε τὰ δικά σου, ἀκολουθώντας τον σὲ ὅλα, μέχρι ποὺ νὰ σὲ πάρει στὴ μεγάλη του ἀνάπαυση, «ὅπου μάτι δὲν εἶδε, οὔτε αὐτὶ ἄκουσε καὶ στὴν καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[71].

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

Προσευχήσου γιὰ μένα, μοναχέ.

207

Ὁ ἴδιος παρακάλεσε τὸν μεγάλο Γέροντα τὰ ἴδια.

---

70. Φιλ. 2,17.
71. Α' Κορ. 2,9.

Ἀπόκρισις

Αδελφὲ Ἀνδρέα, δώῃ σοι ἃ εἶπεν ὁ Ἰησοῦς, «αἰτεῖτε καὶ λαμβάνετε», τὰ αἰτήματά σου ὅλα· μόνον ἑτοίμασον τὸν οἶκον σου ἐν πολλῇ καθαρότητι, τοῦ δέξασθαι τὰ δωρήματα· ἐν γὰρ τῷ κεκαθαρμένῳ οἴκῳ θησαυρίζονται· καὶ ὅπου οὐκ ἔνι βόρβορος τὴν εὐωδίαν αὐτῶν παρέχουσι, καὶ ὅταν γεύηται αὐτῶν τις, ξένος γίνεται τοῦ παλαιοῦ ἀνθρώπου, σταυρούμενος τῷ κόσμῳ καὶ ὁ κόσμος αὐτῷ, ζῶν ἐν Κυρίῳ πάντοτε· καὶ ὅσον κρούουσι τὰ κύματα τοῦ ἐχθροῦ, οὐ ρήσσουσιν αὐτοῦ τὸ σκάφος· καὶ τὸ λοιπὸν φοβερὸς γίνεται τοῖς ὑπεναντίοις, ἀπὸ τῆς θεωρίας τῆς ἁγίας σφραγῖδος· καὶ ὅσον ἐχθρὸς γίνεται αὐτῶν, τοσοῦτον φίλος γνήσιος καὶ ἀγαπητὸς τοῦ μεγάλου βασιλέως γίνεται.

Λοιπόν, ἀδελφέ, μίσησον τελείως, ἵνα ἀγαπήσῃς τελείως· μάκρυνον τελείως, ἵνα ἐγγίσῃς τελείως· βδέλυξαι υἱοθεσίαν, ἵνα λάβῃς υἱοθεσίαν· ἄφες τοῦ ποιῆσαι θελήματα, καὶ ποίησον θέλημα· κόψον σεαυτὸν καὶ δῆσον σεαυτόν· ἐπιλάθου σαυτοῦ καὶ γνῶθι σεαυτόν· καὶ ἰδοὺ ἔργα μοναχοῦ ἔχεις.

ΣΗ´

Ὁ αὐτὸς ᾔτησε τὸν μέγαν Γέροντα τὰ αὐτά.

Ἀπόκρισις

Αδελφὲ Ἀνδρέα, τῆς ψυχῆς μου ἠγαπημένε· εἰ ᾔδεις καθὼς χρὴ τὴν δωρεὰν τοῦ Θεοῦ, πᾶσαι αἱ τρίχες τῆς κεφαλῆς σου εἰ ἦσαν στόμα, οὐκ ἠδύνω δοξάσαι αὐτὸν ἢ εὐχαριστῆσαι καθὼς ἄξιον ἦν, ἀλλὰ πιστεύω ὅτι μανθάνεις. Καὶ ὡς οἶδεν αὐτὸς ὁ Θεός, οὐκ ἔστι ριπὴ ὀφθαλμοῦ ἢ ὥρα, ἐν ᾗ

'Απόκριση

Αδελφὲ 'Ανδρέα, ὁ 'Ιησοῦς εἶθε νὰ σοῦ δώσει ὅλα τὰ αἰτήματά σου, ποὺ εἶπε, «ζητεῖστε καὶ θὰ λάβετε»[72]· ἑτοίμασε μόνο τὸν οἶκο σου μὲ πολλὴ καθαρότητα, ὥστε νὰ δεχθεῖ τὰ δωρήματα· διότι θησαυρίζονται μόνο στὸν καθαρὸ οἶκο, καὶ δίδουν τὴν εὐωδία τους ὅπου δὲν ὑπάρχει ἀκαθαρσία· καὶ ὅταν κάποιος τὰ γεύεται, γίνεται ξένος τοῦ παλαιοῦ ἀνθρώπου, σταυρούμενος γιὰ τὸν κόσμο καὶ ὁ κόσμος[73] γι' αὐτόν, ζώντας πάντοτε ἐν Κυρίῳ, καὶ ὅσο κι ἂν χτυποῦν τὰ κύματα τοῦ ἐχθροῦ, δὲν ρίχνουν τὸ σκάφος του καὶ γίνεται στὸ ἑξῆς φοβερὸς στοὺς ἐχθρούς, ἀπὸ τὴ θεωρία τῆς ἁγίας σφραγίδας· καὶ ὅσο γίνεται ἐχθρὸς σ' αὐτούς, τόσο γίνεται γνήσιος καὶ ἀγαπητὸς φίλος στὸν μεγάλο βασιλιά.

Μίσησε λοιπόν, ἀδελφέ, τέλεια, γιὰ νὰ ἀγαπήσεις τέλεια· ἀπομακρύνσου τέλεια, γιὰ νὰ πλησιάσεις τέλεια· ἀποστρέψου τὴν υἱοθεσία, γιὰ νὰ λάβεις υἱοθεσία· σταμάτα νὰ κάνεις θελήματα, καὶ κάνε θέλημα· κόψε τὸν ἑαυτό σου καὶ δέσε τὸν ἑαυτό σου· θανάτωσε τὸν ἑαυτό σου καὶ ζωοποίησε τὸν ἑαυτό σου· ξέχνα τὸν ἑαυτό σου καὶ γνώρισε τὸν ἑαυτό σου. Καὶ νά, θὰ ἔχεις ἔργα μοναχοῦ.

208

Ὁ ἴδιος παρακάλεσε τὸν μεγάλο Γέροντα τὰ ἴδια.

'Απόκριση

Αδελφὲ 'Ανδρέα, ἀγαπημένε τῆς ψυχῆς μου· ἐὰν γνώριζες, ὅπως πρέπει, τὴ δωρεὰ τοῦ Θεοῦ, κι' ὅλες οἱ τρίχες τῆς κεφαλῆς σου ἐὰν ἦταν στόμα, δὲν θὰ μποροῦσες νὰ τὸν δοξάσεις ἢ νὰ τὸν εὐχαριστήσεις ὅπως ἀξίζει, ἀλλὰ πιστεύω ὅτι θὰ μάθεις. Καὶ ὅπως γνωρίζει ὁ ἴδιος ὁ Θεός, δὲν

72. Ματθ. 7,7.
73. Γαλ. 6,14.

οὐκ ἔχω σε ἐν τῷ νῷ καὶ ἐν τῇ προσευχῇ. Καὶ εἰ ἐγὼ οὕτω σε ἀγαπῶ, ὁ Θεὸς ὁ πλάσας σε περισσότερον σὲ ἀγαπᾷ. Καὶ δέομαι αὐτοῦ ὁδηγῆσαί σε καὶ κυβερνῆσαι κατὰ τὸ θέλημα αὐτοῦ, καὶ οὕτω κυβερνᾷ σε πρὸς τὸ συμφέρον τῆς ψυχῆς σου, κἂν μακροθυμῇ, ἀλλὰ πλεονάζει τὴν ὠφέλειαν τῆς ψυχῆς σου.

Κάθου οὖν οὕτως, εὐχαριστῶν αὐτῷ εἰς πάντα καὶ ἐξουθενῶν σεαυτὸν εἰς πάντα, πιστεύων περὶ πάντων τῶν ῥηθέντων σοι, ὅτι ἔσονται ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΘ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτὸν αἰτήσαντα τὴν παρὰ τοῦ Θεοῦ σύνεσιν· καὶ τὰ αὐτά.*

Ἀδελφὲ Ἀνδρέα, εἶπεν ὁ Δεσπότης ἡμῶν Χριστὸς τῇ Μάρθᾳ, «ἐὰν πιστεύσῃς, ὄψει τοῦ Θεοῦ». Καὶ σὺ οὖν πίστευσον καὶ βλέπεις τὸν Λάζαρον ἐγηγερμένον ἐκ τῶν νεκρῶν καὶ συναριστῶντα τῷ Ἰησοῦ· καὶ βλέπεις τὴν Μαρίαν παρακαθημένην τοῖς ἁγίοις ποσὶν αὐτοῦ, ἀπαλλαγεῖσαν τοῦ τῆς Μαρίας περισπασμοῦ. Καὶ πίστευσον ὅτι πάντα γενήσεταί σοι, ἃ δι' ἐμοῦ τοῦ ἀναξίου ᾐτήθη ὁ Θεὸς τοῦ παρασχεῖν τῇ ἀγάπῃ σου.

Οὐδὲν οὖν ἀπαιτεῖ σε ὁ Θεός, εἰ μὴ ὑπομονὴν καὶ εὐχαριστίαν, καὶ ἀνοίγει σοι τοὺς θησαυροὺς τῆς εἰς αὐτὸν σοφίας καὶ συνέσεως.

Ἀσπάζομαί σε ἐν Κυρίῳ, ἐν ᾧ ὑγίαινε ψυχῇ καὶ σώματι. Καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

---

74. Ἰω. 11,40.

ὑπάρχει στιγμὴ ἢ ὥρα, κατὰ τὴν ὁποία δὲν σὲ ἔχω στὸ νοῦ καὶ στὴν προσευχή. Καὶ ἐὰν ἐγὼ σὲ ἀγαπῶ τόσο, ὁ Θεὸς ποὺ σὲ ἔπλασε, σὲ ἀγαπᾶ περισσότερο. Καὶ τὸν παρακαλῶ νὰ σὲ ὁδηγήσει καὶ νὰ σὲ κυβερνήσει σύμφωνα μὲ τὸ θέλημά του, κι' ἔτσι σὲ κυβερνᾶ πρὸς τὸ συμφέρον τῆς ψυχῆς σου.

Νὰ κάθεσαι λοιπὸν μὲ τὸν ἴδιο τρόπο, εὐχαριστώντας τὸν σὲ ὅλα καὶ ἐξουθενώνοντας τὸν ἑαυτό σου σὲ ὅλα, πιστεύοντας σὲ ὅλα αὐτὰ ποὺ σοῦ εἰπώθηκαν, ὅτι θὰ συμβοῦν ἔτσι μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

209

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο ποὺ ζήτησε τὴ σύνεση ἀπὸ τὸ Θεό, καὶ τὰ ἴδια.

Ἀδελφὲ Ἀνδρέα, ὁ Δεσπότης μας Χριστὸς εἶπε στὴ Μάρθα, «ἐὰν πιστέψεις, θὰ δεῖς τὴ δόξα τοῦ Θεοῦ»[74]. Πίστεψε λοιπὸν καὶ ἐσύ, καὶ θὰ δεῖς τὸν Λάζαρο νὰ ἀνασταίνεται ἀπὸ τοὺς νεκροὺς καὶ νὰ συντρώγει μὲ τὸν Ἰησοῦ[75], καὶ θὰ δεῖς τὴ Μαρία νὰ κάθεται κοντὰ στὰ ἅγια πόδια του, ἀφοῦ ἀπαλλάχθηκε ἀπὸ τὸν περισπασμὸ τῆς Μαρίας[76]. Καὶ πίστεψε, ὅτι θὰ σοῦ γίνουν ὅλα αὐτὰ ποὺ ζητήθηκαν δι' ἐμοῦ νὰ δώσει ὁ Θεὸς στὴν ἀγάπη σου.

Τίποτε λοιπὸν δὲν ἀπαιτεῖ ἀπὸ σένα ὁ Θεός, παρὰ ὑπομονὴ καὶ εὐχαριστία, καὶ θὰ σοῦ ἀνοίξει τοὺς θησαυροὺς τῆς σοφίας καὶ σύνεσης πρὸς αὐτόν.

Σὲ ἀσπάζομαι ἐν Κυρίῳ, μὲ τὴ βοήθεια τοῦ ὁποίου νὰ ὑγιαίνεις στὴν ψυχὴ καὶ στὸ σῶμα. Καὶ προσευχήσου γιὰ μένα.

---

75. Ἰω. 12,2.
76. Λουκᾶ 10,39–42.

ΣΙ'

***Ἀπόκρισις** τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Ἀδελφὲ καὶ ἀγαπητὲ Ἀνδρέα, ἄκουσον. Οἱ τὰ εὔριζα νομίσματα λαμβάνοντες παρὰ τοῦ βασιλέως, ἐὰν μετὰ σπουδῆς καὶ ἐπιμελείας αὐτὰ φυλάξωσι, λαμπρὰ μένουσι καὶ καθαρά, ἐὰν δὲ ἀμελήσωσιν, οὐ μόνον ὅτι ἰοῦνται, ἀλλὰ τάχα καὶ ἀπόλλυνται. Διὰ τοῦτο σοφός τις εἶπε· «τὸ ἀργύριόν σου δῆσον»· ἐγὼ δὲ οὐ μόνον δῆσαι λέγω τῇ πίστει τῇ ἀδιστάκτῳ, ἀλλὰ καὶ σφραγίσαι τῇ ταπεινώσει καὶ τῇ μακροθυμίᾳ τῆς ὑπομονῆς, δι' ἧς σώζεται ὁ ὑπομένων. Τολμηρὸν λέγω, διὰ τοῦ συγχωροῦντός μοι Θεοῦ· λέγει σοι δι' ἐμοῦ τοῦ ἐλαχίστου ὁ μέγας μεσίτης Ἰησοῦς, ὁ Υἱὸς τοῦ εὐλογημένου Πατρός, ὁ χορηγὸς τοῦ ἁγίου Πνεύματος, 'ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου αἱ πολλαὶ καὶ ἀπὸ γενετῆς μέχρι τοῦ δεῦρο'.

Λαβὼν οὖν τὴν χαρὰν ταύτην τὴν μεγάλην, τὴν ἀνεκλάλητον, ἀγάπησον αὐτὸν ὅλῃ δυνάμει, δεικνύων καρπὸν ἄξιον τῆς μετανοίας, κράζων μετὰ τοῦ ἁγίου Παύλου τὰ μελῳδικὰ ἐκεῖνα. «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ φόβος, ἢ μάχαιρα;», λέγων αὐτῷ, ὅτι θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ἀλλ' ἐν τούτοις πᾶσι ὑπερνικῶμεν, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἐξουσίαι, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε δυνάμεις, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δύναται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν».

Ταῦτα μὴ μόνον στόματι δείξῃς μελετῶν, ἀλλ' ἔργοις· φησὶ

77. Σοφ. Σειρ. 28,24.
78. Ματθ. 10,22.

210

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Ἀδελφὲ καὶ ἀγαπητὲ Ἀνδρέα, ἄκουσε. Ὅσοι παίρνουν ἀπὸ τὸν βασιλιὰ τὰ καλοκομμένα νομίσματα, ἐὰν τὰ φυλάξουν μὲ προσοχὴ καὶ ἐπιμέλεια, τὰ διατηροῦν λαμπρὰ καὶ καθαρά· καὶ ἐὰν ἀμελήσουν, ὄχι μόνο σκουριάζουν, ἀλλὰ καὶ χάνονται. Γι' αὐτὸ κάποιος σοφὸς εἶπε· «δέσε τὸ ἀργύριό σου»[77]· καὶ ἐγὼ ὄχι μόνο λέγω νὰ δεθεῖς μὲ τὴν ἀδίστακτη πίστη, ἀλλὰ καὶ νὰ σφραγισθεῖς μὲ τὴν ταπείνωση καὶ τὴ μακροθυμία τῆς ὑπομονῆς, μὲ τὴν ὁποία σώζεται αὐτὸς ποὺ ὑπομένει[78]. Λέγω κάτι τολμηρὸ διὰ τοῦ Θεοῦ ποὺ μὲ συγχωρεῖ· ὁ μεγάλος μεσίτης Ἰησοῦς, ὁ Υἱὸς τοῦ εὐλογημένου Πατρός, ὁ χορηγὸς τοῦ ἁγίου Πνεύματος σοῦ λέγει δι' ἐμοῦ τοῦ ἐλαχίστου, συγχωροῦνται οἱ πολλὲς ἁμαρτίες σου[79] καὶ ἀπὸ τὴ γέννησή σου μέχρι τώρα.

Ἀφοῦ πῆρες λοιπὸν αὐτὴ τὴ μεγάλη, τὴν ἀνεκδιήγητη χαρά, ἀγάπησέ τον μὲ ὅλη τὴ δύναμη, δείχνοντας καρπὸ ἄξιο τῆς μετάνοιας[80], φωνάζοντας μὲ τὸν ἅγιο Παῦλο ἐκεῖνα τὰ μελωδικά· «ποιός θὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ; θλίψη ἢ στενοχώρια ἢ πείνα ἢ διωγμὸς ἢ γυμνότητα ἢ κίνδυνος ἢ φόβος ἢ μαχαίρι;» λέγοντάς του ὅτι πεθαίνουμε ὅλη τὴν ἡμέρα, ἐγίναμε σὰν πρόβατα γιὰ σφαγή· ἀλλὰ σὲ ὅλα αὐτὰ θὰ νικήσουμε μὲ τὴ βοήθεια ἐκείνου ποὺ μᾶς ἀγάπησε. Διότι «ἔχω πεισθεῖ ὅτι δὲν μπορεῖ οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχὲς οὔτε ἐξουσίες οὔτε παρόντα οὔτε μέλλοντα οὔτε δυνάμεις οὔτε ὕψωμα οὔτε βάθος οὔτε καμμιὰ ἄλλη κτίση νὰ μᾶς χωρίσει ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ, ποὺ μᾶς τὴν ἔδειξε μὲ τὸν Ἰησοῦ Χριστὸ τὸν Κύριό μας»[81].

Αὐτὰ νὰ μὴ δείξεις ὅτι τὰ μελετᾶς μόνο μὲ τὸ στόμα, ἀλλὰ

---

79. Λουκᾶ 5,20· 7,47–48.
80. Ματθ. 3,8.
81. Ρωμ. 8,35–39.

γάρ, «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν». Μεγάλου ἀξιώματος ἐγένου, μεγάλα καὶ ἄξια ἔργα δεῖξον ὑπομονῆς καὶ εὐχαριστίας, δι' ὧν ἐστι προσδοκία τῆς τελειότητος, ἧς γενώμεθα ἄξιοι ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν.

Μάλαξον ταῦτα συνεχῶς καὶ ἐνεργῶς, καὶ γεύου αὐτῶν τῆς γλυκύτητος, πῶς εὐωδιάζουσί σου τὴν ψυχὴν καὶ τῶν ἐντυχεῖν δυναμένων.

Ἀνδρίζου ἐν Κυρίῳ καὶ ἴσχυε, εὐλαβέστατε.

ΣΙΑ'

***Ἀπόκρισις** τοῦ αὐτοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν.*

Αδελφὲ Ἀνδρέα, εἶπεν ὁ Κύριος, ὅτι Ἠλίας ἤδη ἦλθε· κἀγώ σοι λέγω, ὅτι ὁ νοητός σου Λάζαρος ἤδη ἠγέρθη καὶ ἐλύθη τῶν δεσμῶν, καὶ ἐπληρώθη ἐπ' αὐτόν, «διέρρηξας τοὺς δεσμούς μου». Λοιπὸν καὶ αὐτὸς ὀφείλεις θῦσαι θυσίαν αἰνέσεως τῷ λύσαντι, ἵνα μὴ πάλιν διὰ ῥαθυμίας ἐμπέσῃς εἰς τοὺς πρώτους δεσμούς, κατὰ τὸν λόγον τοῦ Σωτῆρος, λέγοντος, «ἰδοὺ ὑγιὴς γέγονας» καὶ τὰ λοιπά. Εὐχαρίστησον τῷ Θεῷ· μέλλει γὰρ αὐτῷ καὶ φροντίζει σου καὶ οἰκονομεῖ ἐν πᾶσιν, ἐὰν καὶ σὺ μείνῃς θέλων.

Ὑγίαινε ψυχῇ καὶ σώματι, καὶ εὖξαι ὑπὲρ ἐμοῦ.

ΣΙΒ'

Ὁ αὐτὸς τῆς τοιαύτης τυγχάνων δωρεᾶς ᾔτησε καὶ παράθεσιν αὐτῷ τε καὶ τοῖς σὺν αὐτῷ.

---

82. Λουκᾶ 21,19.
83. Δευτ. 31,6.
84. Ματθ. 17,12.

καὶ μὲ τὰ ἔργα· διότι λέγει, «μὲ τὴν ὑπομονή σας θὰ κερδίσετε τὶς ψυχές σας»[82]. Ἔχεις μεγάλο ἀξίωμα, δεῖξε μὲ τὴν ὑπομονὴ καὶ τὴν εὐχαριστία μεγάλα καὶ ἄξια ἔργα, μὲ τὰ ὁποῖα ἐξασφαλίζεται προσδοκία τῆς τελειότητας, τῆς ὁποίας γινόμαστε ἄξιοι στὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Γένοιτο.

Μαλάκωσε αὐτὰ συνέχεια καὶ ἐνεργά, καὶ γεύσου τὴ γλυκύτητά τους, πῶς εὐωδιάζουν τὴ δική σου ψυχὴ καὶ αὐτῶν ποὺ μποροῦν νὰ τὰ ἐπιτύχουν.

Γίνε ἀνδρεῖος καὶ δυνατὸς[83] ἐν Κυρίῳ, εὐλαβέστατε.

211

Ἀπόκριση τοῦ ἰδίου μεγάλου Γέροντα πρὸς τὸν ἴδιο.

Ἀδελφὲ Ἀνδρέα, ὁ Κύριος εἶπε, ὅτι ἤδη ὁ Ἠλίας ἦρθε[84]· καὶ ἐγὼ σοῦ λέγω ὅτι ὁ νοητός σου Λάζαρος ἤδη ἀναστήθηκε καὶ λύθηκε ἀπὸ τὰ δεσμά[85], καὶ πραγματοποιήθηκε σ' αὐτὸν τὸ λόγιο, «ἔκοψες τὰ δεσμά μου»[86]. Ὀφείλεις λοιπὸν καὶ ὁ ἴδιος νὰ θυσιάσεις θυσία αἰνέσεως σ' αὐτὸν ποὺ σὲ ἔλυσε, γιὰ νὰ μὴ πέσεις πάλι μέσα στὰ πρῶτα δεσμὰ ἀπὸ ραθυμία, σύμφωνα μὲ τὸ λόγο τοῦ Σωτήρα ποὺ λέγει, «νά, ἔχεις γίνει ὑγιὴς»[87] καὶ τὰ ἑξῆς. Εὐχαρίστησε τὸ Θεό, διότι αὐτὸς ἐνδιαφέρεται καὶ σὲ φροντίζει καὶ σὲ οἰκονομεῖ σὲ ὅλα, ἐὰν καὶ ἐσὺ ἐξακολουθεῖς νὰ θέλεις.

Ὑγίαινε στὴν ψυχὴ καὶ στὸ σῶμα, καὶ προσευχήσου γιὰ μένα.

212

Ὁ ἴδιος, ἀφοῦ ἐπέτυχε αὐτὴ τὴ δωρεά, ζήτησε μεσίτευση καὶ γι' αὐτὸν καὶ γιὰ τοὺς μαζὶ μ' αὐτόν.

---

85. Ἰω. 11,44.
86. Ψαλμ. 115,7.
87. Ἰω. 5,14.

Ἀπόκρισις

Δοῦλε τοῦ Θεοῦ τοῦ Ὑψίστου Ἀνδρέα, σύνδουλε, δὲ ἐμοῦ τοῦ ἐλαχίστου· εἰρήνη σοὶ καὶ τοῖς λοιποῖς συνδούλοις ἡμῶν, ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Δῆλον ὑμῖν ποιῶ, ὅτι πρὸ τῆς αἰτήσεως ὑμῶν, ἤδη ἐγὼ παρεθέμην ὑμᾶς τῇ ἁγίᾳ καὶ προσκυνητῇ καὶ ὁμοουσίῳ, ζωοποιῷ τε καὶ ἀνάρχῳ Τριάδι, ἐν παραθέσει φυλακτηρίου ἀπὸ παντὸς κακοῦ. Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν καὶ τοῦτο· ὅτι ἐστὶν ἄλλη παράθεσις, φοβερωτέρα καὶ ἀγαπητή, ἐντιμοτέρα καὶ ἐνδοξοτέρα, καὶ ποία ἐστίν, ἀκούσατε.

Ὅταν καταισχύνηται ὁ μισόκαλος ἐχθρὸς ἡμῶν, ἀκούων τῆς μακαρίας ἐκείνης καὶ ζωοποιοῦ φωνῆς τοῦ Σωτῆρος ἡμῶν πρὸς ἡμᾶς, τῆς πλήρους χαρᾶς καὶ εὐφροσύνης καὶ ἀγαλλιάσεως, φωτιζούσης ἀνεκλαλήτῳ λαμπρότητι καὶ λεγούσης, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου», τότε γίνεται ἡ μεγάλη αὐτοῦ παράθεσις, ὅταν παραδοθῇ ἡ βασιλεία τῷ Θεῷ καὶ Πατρί· αὕτη ἐστί, καὶ χωρὶς ταύτης ἄλλη οὐκ ἔστι. Καὶ πῶς γίνεται, ἀκούσατε.

Ἕκαστος τῶν ἁγίων προσφέρων οὓς ἔσωσεν υἱοὺς τῷ Θεῷ λαμπρᾷ τῇ φωνῇ μετὰ πολλῆς καὶ μεγάλης τῆς παρρησίας, θαυμαζόντων τῶν ἁγίων ἀγγέλων, καὶ ὅλων τῶν ἐπουρανίων δυνάμεων, λέγει· «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός». Καὶ οὐ μόνον αὐτοὺς ἀλλὰ καὶ ἑαυτὸν παραδίδωσι τῷ Θεῷ· καὶ τότε γίνεται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

Εὔξασθαι οὖν ἵνα φθάσωμεν. Μακάριος γὰρ ὁ προσδοκῶν καὶ φθάνων. Εὔξασθε ὑπὲρ ἐμοῦ, ἀγαπητοί.

---

88. Ματθ. 25,34. 89. Α΄ Κορ. 15,24.

Ἀπόκριση

Ἀνδρέα, δοῦλε τοῦ Ὑψίστου Θεοῦ, καὶ σύνδουλε μὲ μένα τὸν ἐλάχιστο· εἰρήνη σὲ σένα καὶ στοὺς ὑπόλοιπους συνδούλους, ἀπὸ τὸ Θεὸ Πατέρα καὶ ἀπὸ τὸν Κύριό μας Ἰησοῦ Χριστό. Σᾶς φανερώνω, ὅτι πρὶν ἀπὸ τὴν παράκλησή σας, ἤδη ἐγὼ σᾶς ἐμπιστεύθηκα στὴν ἁγία καὶ προσκυνητὴ καὶ ὁμοούσια καὶ ζωοποιὸ καὶ ἄναρχη Τριάδα, μὲ ἕνα εἶδος ἀφιερώσεως ποὺ εἶναι σὰν φυλακτήριο ἀπὸ κάθε κακό. Δὲν θέλω ὅμως ἐσεῖς νὰ ἀγνοεῖτε καὶ αὐτό· ὅτι ὑπάρχει ἄλλη παράθεση, φοβερώτερη, ἀναγκαιότερη καὶ φρικτή, ποθεινότερη καὶ ἀγαπητή, ἐντιμότερη καὶ ἐνδοξότερη, καὶ ἀκοῦστε ποιά εἶναι.

Ὅταν ὁ μισόκαλος ἐχθρός μας καταντροπιάζεται, ἀκούγοντας ἐκείνη τὴ μακάρια καὶ ζωοποιὸ φωνὴ τοῦ Σωτήρα μας πρὸς ἐμᾶς, τὴν γεμάτη χαρὰ καὶ εὐφροσύνη καὶ ἀγαλλίαση, ποὺ φωτίζει μὲ ἀνεκδιήγητη λαμπρότητα καὶ λέγει, «ἐλᾶτε οἱ εὐλογημένοι τοῦ Πατέρα μου, κληρονομῆστε τὴν βασιλεία ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς ἀπὸ τὴ δημιουργία τοῦ κόσμου»[88]. Τότε γίνεται ἡ μεγάλη παράθεση αὐτοῦ, ὅταν ἡ βασιλεία θὰ παραδοθεῖ στὸν Θεὸ καὶ Πατέρα[89]· αὐτὴ εἶναι καὶ χωρὶς αὐτὴ δὲν ὑπάρχει ἄλλη. Καὶ ἀκοῦστε πῶς γίνεται.

Ὁ καθένας ἀπὸ τοὺς ἁγίους προσφέροντας στὸ Θεὸ τοὺς υἱοὺς ποὺ ἔσωσε μὲ λαμπρὴ φωνή, μὲ πολλὴ καὶ μεγάλη παρρησία, ἐνῶ οἱ ἅγιοι ἄγγελοι καὶ ὅλες οἱ ἐπουράνιες δυνάμεις θαυμάζουν, λέγει· «νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός»[90]. Καὶ ὄχι μόνο αὐτοὺς ἀλλὰ καὶ τὸν ἑαυτό του παραδίδει στὸ Θεό· καὶ τότε ὁ Θεός, γίνεται τὰ πάντα σὲ ὅλους[91].

Προσευχηθεῖτε λοιπὸν γιὰ νὰ τὸ ἐπιτύχουμε αὐτό· διότι εἶναι μακάριος ἐκεῖνος ποὺ προσδοκᾶ καὶ πετυχαίνει. Προσευχηθεῖτε γιὰ μένα, ἀγαπητοί.

---

90. Ἠσ. 8,18.
91. Α' Κορ. 15,28.

ΣΙΓ'

Ὁ αὐτὸς φαντασίας καὶ πειρασμοὺς ὑπομένων ἐκ τῶν δαιμόνων, καὶ θαυμάζων ὅτι μετὰ τὴν τοσαύτην φιλανθρωπίαν καὶ τὰς τῶν μελλόντων ἀγαθῶν ἐπαγγελίας ταῦτα ὑφίσταται, ἠρώτησε τὸν αὐτὸν μέγαν Γέροντα περὶ τούτου· καὶ εἰ ἔτι ἵστανται αἱ σφραγίδες τῶν ἐπαγγελιῶν.

***Ἀπόκρισις** Βαρσανουφίου*

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν Κύριον, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον· εἰρήνη σοι ἔσται ἐν Θεῷ, τιμιώτατε ἀδελφὲ καὶ ὁμόφρον Ἀνδρέα. Μὴ ἐκλύσῃ σε ὁ τῶν δαιμονικῶν παθῶν καὶ φαντασιῶν ὄχλος, ἀλλὰ πίστευσον, ὅτι οὐδὲν ἀνύουσιν ὀχλοῦντες καὶ πειράζοντες, ἀλλὰ μᾶλλον πλεονάζουσι τὴν ἀρετήν, ἐὰν μετὰ ἀκριβείας προσέχωμεν παρασχεῖν μικρὰν ὑπομονήν. Φησὶ γὰρ περὶ τοῦ σωζομένου διὰ πίστεως δικαίου· ὅτι «ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ».

Μὴ οὖν χαυνώσωμεν τὸ σχοινίον, ἵνα μὴ ἀπολέσωμεν τὰ δοθέντα ἡμῖν παρὰ τοῦ φιλανθρώπου καὶ εὐσπλάγχνου Θεοῦ· αὐτοῦ γάρ ἐστι τὸ παρασχεῖν καὶ ἡμῶν τὸ φυλάξαι.

Καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τὰς ἁγίας ἐπαγγελίας καὶ τὰ ἀμεταμέλητα χαρίσματα, πάλιν κινοῦσι πρὸς σὲ τὰ ἄτιμα αὐτῶν πάθη, προσδοκῶντες συλῆσαι τὸν ἄπειρον πλοῦτον, ἀλλὰ μιμνήσκου τῆς μετὰ τὴν τοῦ Δεσπότου ἡμῶν Θεοῦ περὶ τοῦ ἐν ἁγίοις καὶ ἐνδόξου Ἰὼβ μαρτυρίαν, ἀναιδείας αὐτῶν· πόσους πειρασμοὺς καὶ μηχανήματα ἐκίνησαν καταβαλεῖν τὸν πύργον, καὶ οὐκ ἠδυνήθησαν· οὐδὲ συλῆσαι ἴσχυσαν τὸν θησαυρὸν τῆς λαμπρᾶς αὐτοῦ πίστεως καὶ εὐχαριστίας· λαμπρότερον γὰρ

---

92. Ψαλμ. 118,165.

213

Ὁ ἴδιος, ἐπειδὴ ὑπέμεινε φαντασίες καὶ πειρασμοὺς ἀπὸ τοὺς δαίμονες καὶ ἀποροῦσε, πῶς μετὰ τὴν τόση φιλανθρωπία καὶ τὶς ὑποσχέσεις τῶν μελλόντων ἀγαθῶν ὑφίσταται αὐτά, ἐρώτησε τὸν ἴδιο μεγάλο Γέροντα γι' αὐτό· καὶ ἐπίσης ἐρώτησε, ἐὰν ὑπάρχουν ἀκόμα οἱ σφραγίδες τῶν ἐπαγγελιῶν.

Ἀπόκριση Βαρσανουφίου

Πολλὴ εἰρήνη σ' ἐκείνους ποὺ ἀγαποῦν τὸν Κύριο καὶ δὲν ὑπάρχει σκάνδαλο σ' αὐτούς[92]· νὰ ὑπάρχει εἰρήνη σὲ σένα ἐν Θεῷ, τιμιώτατε ἀδελφὲ καὶ ὁμόφρονα Ἀνδρέα. Νὰ μὴ σὲ παραλύσει ὁ ὄχλος τῶν δαιμονικῶν παθῶν καὶ φαντασιῶν, ἀλλὰ πίστεψε, ὅτι ἐκεῖνοι ποὺ ἐνοχλοῦν καὶ πειράζουν δὲν κατορθώνουν τίποτε, ἀλλὰ μᾶλλον αὐξάνουν τὴν ἀρετή, ἐὰν προσέχουμε μὲ ἀκρίβεια καὶ δείξουμε λίγη ὑπομονή. Διότι λέγει γιὰ τὸν δίκαιο ποὺ σώζεται μὲ τὴν πίστη, ὅτι «ἐὰν δειλιάσει, ἡ ψυχή μου δὲν εὐδοκιμεῖ σ' αὐτόν»[93].

Ἂς μὴ χαλαρώσουμε λοιπὸν τὸ σχοινί, γιὰ νὰ μὴ χάσουμε αὐτὰ ποὺ μᾶς δόθηκαν ἀπὸ τὸν φιλάνθρωπο καὶ εὔσπλαγχνο Θεό· διότι τὸ νὰ δίνει εἶναι δικό του, καὶ τὸ νὰ φυλάττουμε δικό μας.

Καὶ μὴ θαυμάσεις, ἐὰν μετὰ τὶς ἅγιες ἐπαγγελίες καὶ τὰ ἀμεταμέλητα χαρίσματα[94] σὲ ὑποκινοῦν πάλι τὰ ἄτιμα πάθη του, προσδοκῶντας νὰ κλέψουν τὸν ἄπειρο πλοῦτο, ἀλλὰ θυμήσου τὴν ἀναίδεια αὐτῶν μετὰ τὴ μαρτυρία τοῦ Δεσπότη μας Θεοῦ γιὰ τὸν μεταξὺ τῶν ἁγίων ἔνδοξο Ἰώβ· πόσους πειρασμοὺς καὶ μηχανήματα κίνησαν νὰ ρίξουν τὸν πύργο, καὶ δὲν μπόρεσαν, οὔτε εἶχαν τὴ δύναμη νὰ ἁρπάξουν τὸν θησαυρὸ τῆς λαμπρῆς του πίστεως καὶ εὐχαριστίας· διότι ἡ ἐπαφὴ μὲ τὴ φωτιὰ ἔδειξε

---

93. Ἰὼβ 2,4.
94. Ρωμ. 11,29.

ἔδειξεν ἡ πρὸς τὸ πῦρ ὁμιλία τὸ χρυσίον, τουτέστιν ἡ ὑπερβολὴ τῶν πειρασμῶν τὸν δίκαιον. Ἀφῆκε γὰρ ὁ Θεὸς καὶ συνεχώρησε καὶ μετὰ τὴν ἰδίαν αὐτοῦ περὶ τοῦ δικαίου μαρτυρίαν πειρασθῆναι τὸν δοῦλον, πρὸς μείζονα εὐδοκίμησιν καὶ δόξαν τοῦ Δεσπότου καὶ ἀναπολογίαν τῶν ἐχθρῶν.

Μὴ οὖν ἐκκακήσῃς, στήκουσι γὰρ αἱ σφραγῖδες τῶν ἐπαγγελιῶν, ἀλλὰ ὑπόμεινον τὸν Κύριον· «ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΙΔ'

Ἀποκρισις *τοῦ μεγάλου Γέροντος πρὸς τὸν αὐτόν σπαρέντος ἐν αὐτῷ λογισμοῦ, ὅτι τὸ μὴ ἐγκρατεύεσθαι ἀπὸ βρωμάτων, κωλύει αὐτὸν φθάσαι εἰς τὰ ἐπηγγελμένα αὐτῷ.*

Οὐχ ὡς ἐξουδενῶν τὴν ἐγκράτειαν καὶ τὴν πολιτείαν, λέγω ἀεὶ τῇ ἀγάπῃ σου ποιῆσαι τὴν χρείαν τοῦ σώματος ὡς χρή· μὴ γένοιτο· ἀλλ' ὅτι, ἐὰν μὴ ἡ ἔσωθεν ἐργασία βοηθήσῃ μετὰ Θεὸν τῷ ἀνθρώπῳ, μάτην κοπιᾷ εἰς τὴν ἐξωτικήν.

Διὰ τοῦτο γὰρ εἶπεν ὁ Κύριος, ὅτι «οὐ τὰ εἰσπορευόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἐκ τοῦ στόματος». Καὶ γὰρ ἡ ἐσωτέρα ἐργασία μετὰ πόνου καρδίας, φέρει τὴν ἀληθινὴν ἡσυχίαν τῆς καρδίας, καὶ ἡ τοιαύτη ἡσυχία φέρει τὴν ταπείνωσιν, καὶ ἡ ταπείνωσις ποιεῖ τὸν ἄνθρωπον εἶναι κατοικητήριον Θεοῦ, καὶ ἀπὸ τῆς κατοικήσεως ταύτης ἐξορίζονται οἱ πονηροὶ δαίμονες, καὶ ὁ τούτων ἀρχηγὸς διάβολος, σὺν τοῖς ἀτίμοις αὐτῶν πάθεσι, καὶ εὑρίσκεται ὁ ἄνθρωπος

λαμπρότερο τὸν χρυσό, δηλαδὴ ἡ ὑπερβολὴ τῶν πειρασμῶν τὸν δίκαιο. Διότι ὁ Θεὸς ἐπέτρεψε καὶ παραχώρησε καὶ μετὰ τὴ δική του μαρτυρία γιὰ τὸν δίκαιο νὰ πειρασθεῖ ὁ δοῦλος γιὰ μεγαλύτερη εὐδοκίμηση καὶ δόξα τοῦ Δεσπότη καὶ ἀναπολογία τῶν ἐχθρῶν.

Μὴ δειλιάσεις λοιπόν, διότι ὑπάρχουν οἱ σφραγίδες τῶν ἐπαγγελιῶν, ἀλλὰ ὑπόμεινε τὸν Κύριο· «διότι ἐκεῖνος ποὺ θὰ ὑπομείνει μέχρι τὸ τέλος, αὐτὸς θὰ σωθεῖ»[95], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

214

Ἀπόκριση τοῦ μεγάλου Γέροντα πρὸς τὸν ἴδιο,

ὅταν τοῦ δημιουργήθηκε λογισμός, ὅτι τὸ νὰ μὴ ἐγκρατεύεται ἀπὸ τροφές, τὸν ἐμποδίζει νὰ φθάσει στὰ ὑποσχόμενα σ' αὐτόν.

Λέγω πάντα στὴν ἀγάπη σου νὰ ἱκανοποιεῖ τὴν ἀνάγκη τοῦ σώματος ὅπως πρέπει, ὄχι ἐπειδὴ θεωρῶ ἀνάξια τὴν ἐγκράτεια καὶ τὴν ἀσκητικὴ ζωή, μὴ γένοιτο, ἀλλὰ ἐπειδή, ἐὰν ἡ ἐσωτερικὴ ἐργασία δὲ βοηθήσει μετὰ τὸ Θεὸ τὸν ἄνθρωπο, μάταια κοπιάζει στὴν ἐξωτερική.

Πράγματι γι' αὐτὸ ὁ Κύριος εἶπε, ὅτι «δὲ μολύνουν τὸν ἄνθρωπο ἐκεῖνα ποὺ εἰσέρχονται στὸ στόμα, ἀλλὰ ἐκεῖνα ποὺ βγαίνουν ἀπὸ τὸ στόμα»[96]. Διότι ἡ μὲ πόνο καρδιᾶς ἐσωτερικὴ ἐργασία φέρνει τὴν ἀληθινὴ ἡσυχία τῆς καρδιᾶς, καὶ αὐτὴ ἡ ἡσυχία φέρνει τὴν ταπείνωση, καὶ ἡ ταπείνωση κάνει τὸν ἄνθρωπο κατοικία Θεοῦ, καὶ ἀπὸ αὐτὴ τὴν κατοίκηση ἐξορίζονται οἱ πονηροὶ δαίμονες, καὶ ὁ ἀρχηγός τους διάβολος, μαζὶ μὲ τὰ ἄτιμά τους πάθη, καὶ ὁ ἄνθρωπος βρίσκεται ναὸς τοῦ Θεοῦ,

95. Ματθ. 10,22.
96. Ματθ. 15,11.

ναὸς Θεοῦ ἡγιασμένος, πεφωτισμένος, κεκαθαρμένος, πάσης εὐωδίας καὶ ἀγαθωσύνης καὶ ἀγαλλιάσεως. Καὶ εὑρίσκεται θεοφόρος ὁ ἄνθρωπος, μᾶλλον δὲ καὶ θεός, διὰ τὸν εἰπόντα· «ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες».

Μὴ οὖν θορυβήσῃ σε ὁ λογισμός, μᾶλλον δὲ ὁ πονηρός, ὅτι τὰ σωματικὰ βρώματα κωλύουσί σε φθάσαι εἰς τὰς ἐπαγγελίας, ἅγια γάρ εἰσι καὶ οὐκ ἔστιν ἀπὸ καλοῦ κακὸν ἀποβαίνειν· ἀλλὰ τὰ διὰ στόματος ἐξερχόμενα ἀπὸ τῆς καρδίας πεμπόμενα κωλύει καὶ ἐμποδίζει τὸν ἄνθρωπον διὰ τάχους ἐλθεῖν εἰς τὰς προκειμένας αὐτῷ ἐπαγγελίας.

Ποιῶν οὖν τὴν χρείαν τοῦ σώματος μὴ διακριθῇς, ἀλλὰ ποίησον τὴν δύναμιν τοῦ ἔσω ἀνθρώπου τοῦ πονέσαι καὶ ταπεινῶσαι τοὺς λογισμοὺς αὐτοῦ, καὶ τότε ἀνοίγει ὁ Θεὸς τοὺς ὀφθαλμοὺς τῆς καρδίας σου, ἰδεῖν τὸ φῶς τὸ ἀληθινὸν καὶ συνιέναι εἰπεῖν, ὅτι 'χάριτί εἰμι σεσωσμένος', ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας Ἀμήν.

ΣΙΕ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

Ἐπειδή, δέσποτα, ὡς οἶδας, ἀσθενής εἰμι ψυχῇ καὶ σώματι, δέομαί σου, παρακάλεσον τὸν Θεὸν παρασχεῖν μοι δύναμιν καὶ βοήθειαν εἰς τὴν ὑπομονήν, ἵνα εὐχαρίστως βαστάσω τὰ ἐπερχόμενά μοι.

***Ἀπόκρισις** Βαρσανουφίου*

Ἀδελφὲ Ἀνδρέα, μαθεῖν θέλω τὴν ἀγάπην σου, ὅτι πάντα τὰ χαρίσματα διὰ τῆς ἐλεύσεως τοῦ ἁγίου Πνεύματος δίδονται καὶ πολυμερῶς καὶ πολυτρόπως γίνονται.

ἁγιασμένος, φωτισμένος, καθαρμένος, γεμᾶτος μὲ κάθε εὐωδία καὶ ἀγαθωσύνη καὶ ἀγαλλίαση. Καὶ βρίσκεται θεοφόρος ὁ ἄνθρωπος, ἢ καλύτερα καὶ θεός, σύμφωνα μὲ ἐκεῖνον ποὺ εἶπε, «ἐγὼ εἶπα, ὅτι ὅλοι θὰ εἶσθε θεοὶ καὶ υἱοὶ τοῦ Ὑψίστου»[97].

Νὰ μὴ σὲ θορυβήσει λοιπὸν ὁ λογισμός, ἢ μᾶλλον ὁ πονηρός, ὅτι οἱ σωματικὲς τροφὲς σὲ ἐμποδίζουν νὰ φθάσεις στὶς ἐπαγγελίες, διότι εἶναι ἅγιες καὶ δὲν εἶναι δυνατὸν ἀπὸ τὸ καλὸ νὰ ἀποβαίνει κακό· ἀλλὰ αὐτὰ ποὺ ἐξέρχονται ἀπὸ τὸ στόμα, καθὼς στέλλονται ἀπὸ τὴν καρδιά, ἐμποδίζουν τὸν ἄνθρωπο νὰ ἔλθει γρήγορα στὶς ἐπαγγελίες ποὺ βρίσκονται ἐνώπιόν του.

Ὑπηρετώντας λοιπὸν τὴν ἀνάγκη τοῦ σώματος, νὰ μὴ διακριθεῖς, ἀλλὰ προσπάθησε κατὰ δύναμη, ὥστε ὁ ἐσωτερικὸς ἄνθρωπος νὰ κοπιάσει καὶ νὰ ταπεινώσει τοὺς λογισμούς του, καὶ τότε ὁ Θεὸς θὰ ἀνοίξει τὰ μάτια τῆς καρδιᾶς σου, γιὰ νὰ δεῖ τὸ ἀληθινὸ φῶς[98] καὶ νὰ καταλάβει καὶ νὰ πεῖ, ὅτι εἶμαι σωσμένος[99] μὲ τὴ χάρη, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

215

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

> Ἐπειδή, δέσποτα, ὅπως γνωρίζεις, εἶμαι ἀσθενὴς στὴν ψυχὴ καὶ στὸ σῶμα, σὲ ἱκετεύω νὰ παρακαλέσεις τὸ Θεὸ νὰ μοῦ δώσει δύναμη καὶ βοήθεια στὴν ὑπομονή, γιὰ νὰ βαστάξω μὲ εὐχαρίστηση τὰ ἐπερχόμενα ἐναντίον μου.

Ἀπόκριση Βαρσανουφίου

Ἀδελφὲ Ἀνδρέα, θέλω νὰ μάθει ἡ ἀγάπη σου, ὅτι ὅλα τὰ χαρίσματα δίνονται μὲ τὸν ἐρχομὸ τοῦ ἁγίου Πνεύματος καὶ γίνονται πολυμερῶς καὶ πολυτρόπως[1]. Διότι ὁ

---

97. Ψαλμ. 81,6, Ἰω. 10,34.
98. Ἰω. 1,9.

Ποτὲ γὰρ ἔδωκεν ὁ Θεὸς τὸ πνεῦμα τοῖς Ἀποστόλοις ἐκβαλεῖν δαιμόνια, ποτὲ δὲ ἐπιτελεῖν ἰάσεις, ποτὲ δὲ τὸ προορᾶν, καὶ ποτὲ ἐγείρειν νεκρούς· τὸ δὲ τέλειον, τὸ ἀφιέναι ἁμαρτίας καὶ ἐλευθερῶσαι ψυχὰς ἐκ σκότους καὶ ἀγαγεῖν εἰς τὸ φῶς.

Ἰδοὺ οὖν δέομαι τοῦ Θεοῦ, ἵνα μετὰ τὴν ἐλευθερίαν τῆς ψυχῆς σου, δώῃ σοι τὸ Πνεῦμα τὸ ἅγιον εἰς ὑπομονὴν καὶ εὐχαριστίαν· καὶ ἵνα αἰσχυνθῇ ὁ ἐξ ἐναντίας, μὴ ἔχων καθ' ἡμῶν ἀπολογίαν. Συνέργησον καὶ σὺ μικρὸν πυκτεύων κτήσασθαι καὶ δίδωσιν ὁ πλούσιος ἐν ἐλέει Θεός.

Εὖξαι ὑπὲρ ἐμοῦ, ἀδελφέ.

ΣΙΣΤ'

Ἐρώτησις

Παρακαλῶ σε, δέσποτα, μνημονεύειν μου πάντοτε, καὶ δήλωσόν μοι, πῶς δεῖ παρελθεῖν μετὰ τοῦ πλησίον οἰκοῦντος ἀδελφοῦ ἡμῶν.

Ἀπόκρισις

Αδελφέ, γραπτόν ἐστι, ὅτι «ἐὰν ἐπιλάθωμαί σου, Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου», καὶ τὰ λοιπά. Ταῦτα περὶ μνήμης.

Περὶ δὲ τοῦ πῶς δεῖ παρελθεῖν μετὰ τοῦ πλησίον, ὁ θέλων ἀρέσαι τῷ Θεῷ, κόπτει τὸ θέλημα αὐτοῦ τῷ πλησίον, βιαζόμενος ἑαυτόν· φησὶ γάρ· «βιαστῶν ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν».

Μάθε οὖν πῶς ἀναπαύεται ὁ ἀδελφός, καὶ οὕτω ποίησον, καὶ εὑρίσκεις καὶ σὺ ἀνάπαυσιν παρὰ τοῦ Θεοῦ, ἐν Χριστῷ Ἰησου τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

99. Ἐφ. 2,5.
1. Ἑβρ. 1,1.
1α. Τιτ. 2,8.

Θεὸς ἔδωσε τὸ Πνεῦμα στοὺς Ἀποστόλους ἄλλοτε νὰ διώχνουν δαιμόνια, ἄλλοτε νὰ κάμουν ἰάσεις, ἄλλοτε νὰ προβλέπουν καὶ ἄλλοτε νὰ ἀνασταίνουν νεκρούς· τὸ τέλειο ὅμως εἶναι νὰ συγχωροῦν ἁμαρτίες καὶ νὰ ἐλευθερώνουν τὶς ψυχὲς ἀπὸ τὸ σκοτάδι καὶ νὰ τὶς ὁδηγοῦν στὸ φῶς.

Νὰ λοιπὸν παρακαλῶ τὸ Θεὸ νὰ σοῦ δώσει μετὰ τὴν ἐλευθερία τῆς ψυχῆς τὸ ἅγιο Πνεῦμα γιὰ ὑπομονὴ καὶ εὐχαριστία, ὥστε νὰ ντραπεῖ ὁ ἀντίθετος, ἐπειδὴ δὲν ἔχει ἀπολογία[1α] σὲ μᾶς. Βοήθησε καὶ σὺ λίγο, ἀγωνιζόμενος γιὰ νὰ τὸ ἀποκτήσεις, καὶ ὁ πλούσιος Θεὸς θὰ σοῦ τοῦ δώσει μὲ ἔλεος[2].

Προσευχήσου γιὰ μένα, ἀδελφέ.

216

Ἐρώτηση

Σὲ παρακαλῶ, δέσποτα, νὰ μὲ θυμᾶσαι πάντα καὶ δήλωσέ μου πῶς πρέπει νὰ περνῶ μὲ τὸν ἀδελφό μας ποὺ συνοικεῖ μαζί μας.

Ἀπόκριση

Ἀδελφέ, εἶναι γραπτό, «ὅτι ἐὰν σὲ ξεχάσω, Ἱερουσαλήμ, νὰ ξεχασθεῖ ἡ δεξιά μου»[3] καὶ τὰ λοιπά. Αὐτὰ γιὰ τὴ μνήμη.

Ὅσο γαὶ τὸ πῶς πρέπει νὰ περνᾶς μὲ τὸν πλησίον, ἐκεῖνος ποὺ θέλει ν' ἀρέσει στὸ Θεό, κόβει τὸ θέλημά του γιὰ τὸν πλησίον, πιέζοντας τὸν ἑαυτό του· διότι λέγει «ἡ βασιλεία τοῦ Θεοῦ εἶναι τῶν βιαστῶν, καὶ οἱ βιαστὲς τὴν ἁρπάζουν»[4].

Μάθε λοιπὸν πῶς ἀναπαύεται ὁ ἀδελφὸς καὶ κάνε τὸ ἴδιο καὶ θὰ βρεῖς καὶ σὺ ἀνάπαυση κοντὰ στὸ Θεό, μὲ τὴ βόθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

---

2. Ἐφ. 2,4.
3. Ψαλμ. 136,5.
4. Ματθ. 11,12.

ΣΙΖ'

Οὗτος ὁ ἀδελφὸς ὁ πλησίον οἰκῶν τοῦ ἀσθενοῦντος γέροντος, συμπαθήσας τῇ αὐτοῦ ἀσθενείᾳ, ᾔτησε πάνυ τὸν μέγαν Γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ.

Ἀπόκρισις

Αδελφὲ ὀχληρέ, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, διατί ἀπὸ καιροῦ εἰς καιρὸν παιδεύει τὸν δοῦλον αὐτοῦ Ἀνδρέαν ὡς εὔσπλαγχνος πατήρ, ἐδόξασας ἂν τὸν Θεόν, ἵνα ἀποστομίσῃ τὸ μιαρὸν στόμα τοῦ δράκοντος, ἵνα μὴ εὕρῃ κατ' αὐτοῦ πρόφασιν ἐν ἡμέρᾳ κρίσεως διὰ τὰς μεγάλας ἐπαγγελίας, τὰς αὐτῷ ἐπαγγελθείσας ὑπὸ τοῦ Θεοῦ, δι' ἐμοῦ τοῦ ἐλαχίστου δούλου καὶ ἀχρείου.

Τί δὲ νομίζεις; ὅτι οὐ συμπάσχω αὐτῷ περισσότερον παντὸς ἀνθρώπου; Ναί. Ἐπεὶ ποῦ ἐστιν, ὅτι «ἐὰν πάσχῃ ἓν μέλος, συμπάσχει ὅλα τὰ μέλη»; Εἰ μετὰ ἀληθείας ᾔδει τὴν λαμπρότητα τῶν προκειμένων αὐτῷ, μελῳδῆσαι εἶχε σὺν τῷ Παύλῳ, εὐχαριστῶν ἀγαλλιώμενος καὶ λέγων· «ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Ὁ Θεὸς ἐνδυναμώσοι αὐτόν, καὶ πέμψοι αὐτῷ τὸ μέγα ἔλεος.

Ἀσπάζομαι ὑμᾶς ἐν Πνεύματι ἁγίῳ, θεωρῶν σὺν Θεῷ τὴν προκοπὴν ὑμῶν, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΙΗ'

Ὁ αὐτὸς ἀδελφὸς ζητῶν δι' ἑαυτοῦ ὑπηρετεῖν τῷ Γέροντι κατὰ

217

Αὐτὸς ὁ ἀδελφὸς ποὺ ἔμενε κοντὰ στὸν ἀσθενῆ γέροντα, ἐπειδὴ τὸν συμπάθησε γιὰ τὴν ἀσθένειά του, παρακάλεσε πολὺ τὸν μεγάλο Γέροντα νὰ προσεύχεται γι' αὐτόν.

Ἀπόκριση

Ενοχλητικὲ ἀδελφέ, ἐὰν γνώριζες τὴ δωρεὰ τοῦ Θεοῦ, γιατί ἀπὸ καιρὸ σὲ καιρὸ παιδεύει τὸν δοῦλο του Ἀνδρέα σὰν εὔσπλαγχνος Πατέρας, θὰ δόξαζες τὸ Θεό, γιὰ νὰ ἀποστομίσει τὸ μιαρὸ στόμα τοῦ δράκοντα, γιὰ νὰ μὴ βρεῖ ἐναντίον του κατηγορία τὴν ἡμέρα τῆς κρίσεως γιὰ τὶς μεγάλες ἐπαγγελίες, ποὺ ἐπαγγέλθηκαν σ' αὐτὸν ἀπὸ τὸ Θεό, δι' ἐμοῦ τοῦ ἐλαχίστου καὶ ἀχρείου δούλου.

Τί νομίζεις λοιπόν; ὅτι δὲν συμπάσχω μ' αὐτὸν περισσότερο ἀπὸ κάθε ἄνθρωπο; Ναί· ἐπειδὴ ἀλλιῶς ποῦ εἶναι τό, «ἐὰν πάσχει ἕνα μέλος, συμπάσχουν ὅλα τὰ μέλη»[5]; Ἐὰν γνώριζε πραγματικὰ τὴν λαμπρότητα τῶν ἀγαθῶν ποὺ βρίσκονται μπροστά του θὰ μποροῦσε νὰ μελωδήσει μαζὶ μὲ τὸν Παῦλο, εὐχαριστώντας, ἀγαλλιάζοντας καὶ λέγοντας· «τὰ παθήματα τοῦ τωρινοῦ καιροῦ δὲν εἶναι ἰσάξια πρὸς τὴ δόξα ποὺ πρόκειται νὰ ἀποκαλυφθεῖ σὲ μᾶς»[6]. Εἴθε ὁ Θεὸς νὰ τὸν δυναμώσει καὶ νὰ τοῦ στείλει τὸ μεγάλο ἔλεος.

Σᾶς ἀσπάζομαι στὸ ὄνομα τοῦ ἁγίου Πνεύματος, θεωρώντας μὲ τὴ βοήθεια τοῦ Θεοῦ τὴν προκοπή σας, τὴν ἐνισχυόμενη ἀπὸ τὸν Ἰησοῦ Χριστὸ τὸν Κύριό μας.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

218

Ὁ ἴδιος ἀδελφὸς ζητοῦσε νὰ ὑπηρετεῖ ὁ ἴδιος τὸν γέροντα κατὰ

---

5. Α' Κορ. 12,26.
6. Ρωμ. 8,18.

δύναμιν σὺν τῷ αὐτοῦ ὑπηρέτῃ· τοῦ Γέροντος διακρινομένου καὶ μὴ θέλοντος ὑπηρετεῖσθαι παρ' αὐτοῦ, διὰ τὸν λόγον τοῦ ἀββᾶ Θεοδώρου τοῦ ἐν τῇ Φέρμῃ, μὴ ἀνεχομένου ἐπιτάξαι τῷ ἰδίῳ μαθητῇ, ἠρώτησε τὸν ἄλλον γέροντα περὶ τούτου.

Ἀπόκρισις *Ἰωάννου*

Ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, προσθείη τῇ πίστει σου, ὦ τιμιώτατε καὶ προσφιλέστατε ἀδελφέ, καὶ ἐνδυναμώσοι τὴν ἀγάπην σου ἐν τῷ φόβῳ αὐτοῦ, τοῦ πληρῶσαι τὴν καλὴν προαίρεσίν σου εἰς τὸν πλησίον· ὥστε, ἐὰν κοπιᾷς μικρὸν κατὰ δύναμιν, οὐκ ἀποστερεῖ σε ὁ Θεὸς τὸν μισθὸν τοῦ κόπου σου.

Εἴ τι οὖν δύνασαι ἀνάπαυσον τὸν γέροντα καὶ ἀρέσκει τῷ Θεῷ ὑπὲρ λατρείας, ὑπὲρ θυσίας· ἃ δὲ οὐ δύνασαι, ἵνα ποιήσῃ ὁ ἀδελφός. Οὐκ ὀφείλει δὲ ὁ γέρων διακριθῆναι ὑπηρετούμενος παρ' ὑμῶν ἀσθενὴς ὤν, ἀλλ' εὐχαριστεῖν τῷ Θεῷ, καὶ εὔχεσθαι ὑπὲρ ὑμῶν. Ἀσθενὴς γὰρ ὤν, οὐκ ὀφείλει κρατῆσαι τὸν λόγον τοῦ ἀββᾶ Θεοδώρου, λέγοντος περὶ τοῦ ἀδελφοῦ, ὅτι 'οὔκ εἰμι κοινοβιάρχης, ἵνα ἐπιτάξω αὐτῷ· ἐὰν θέλῃ ποιῆσαι, ὃ βλέπει με ποιοῦντα, ποιησάτω'.

Ταῦτα γὰρ ἔλεγεν ὁ ἀββᾶς Θεόδωρος, ὅτι ἐδύνατο ποιῆσαι τὴν χρείαν αὐτοῦ, καὶ ὑπηρετεῖν ἄλλοις· οὗτος δὲ ἀσθενής ἐστι. Καὶ ἕκαστος δὲ ὀφείλει πρὸς τὸ μέτρον αὐτοῦ καὶ τὴν κατάστασιν διάγειν ἐν φόβῳ Θεοῦ, εὐχαριστῶν αὐτῷ πάντοτε· ὅτι δι' αὐτοῦ ἄλλοι λαμβάνουσι τὸν μισθόν. Μὴ οὖν φθονήσῃ τῷ θέλοντι ἀκοῦσαι τοῦ λέγοντος, «ἠσθένησα καὶ διηκονήσατέ μοι». Οὐκ ἀπαιτεῖ ὁ Θεὸς τὸν ἀσθενοῦντα, καθὼς πολλάκις ἠκούσαμεν, εἰ μὴ μόνον τὴν εὐχαριστίαν καὶ τὴν ὑπομονήν· αὗται γὰρ πρεσβεύουσιν ὑπὲρ τῆς ἀδυναμίας ἐνώπιον τοῦ Θεοῦ.

δύναμη μαζὶ μὲ τὸν ὑπηρέτη του. Ὁ γέροντας, ἐπειδὴ δίσταζε καὶ δὲν ἤθελε νὰ ὑπηρετηθεῖ ἀπὸ αὐτόν, γιὰ τὸν λόγο τοῦ Ἀββᾶ Θεοδώρου τῆς Φέρμης, ποὺ δὲν ἀνεχόταν νὰ διατάξει τὸν μαθητή του, ἐρώτησε τὸν ἄλλο γέροντα γι' αὐτό.

Ἀπόκριση Ἰωάννη

Ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς εἴθε ν' αὐξήσει τὴν πίστη σου, τιμιώτατε καὶ προσφιλέστατε ἀδελφέ, καὶ εἴθε νὰ δυναμώσει τὴν ἀγάπη σου μὲ τὸ φόβο του, ὥστε νὰ πραγματοποιήσεις τὴν καλὴ προαίρεσή σου στὸν πλησίον· ὥστε, ἐὰν κοπιάζεις λίγο σύμφωνα μὲ τὴ δύναμή σου, ὁ Θεὸς δὲ θὰ σοῦ στερεῖ τὴν ἀμοιβὴ τοῦ κόπου σου.

Ὅσο λοιπὸν μπορεῖς, ἀνάπαυσε τὸν γέροντα καὶ αὐτὸ θὰ ἀρέσει στὸ Θεὸ περισσότερο ἀπὸ τὴ λατρεία καὶ περισσότερο ἀπὸ τὴ θυσία. Ὅσα δὲν μπορεῖς ἐσύ, νὰ τὰ κάνει ὁ ἀδελφός. Ὁ γέροντας δὲν ὀφείλει νὰ διστάζει νὰ ὑπηρετηθεῖ ἀπὸ σᾶς, ἀφοῦ εἶναι ἀσθενής, ἀλλὰ νὰ εὐχαριστεῖ τὸ Θεὸ καὶ νὰ προσεύχεται γιὰ σᾶς. Διότι, ἀφοῦ εἶναι ἀσθενής, δὲν ὀφείλει νὰ τηρήσει τὸ λόγο τοῦ ἀββᾶ Θεοδώρου, ποὺ λέγει γιὰ τὸν ἀδελφό, 'δὲν εἶμαι κοινοβιάρχης γιὰ νὰ τὸν διατάξω· ἐὰν θέλει νὰ κάνει αὐτὸ ποὺ μὲ βλέπει νὰ κάνω, ἂς τὸ κάμει'.

Ὁ Ἀββᾶς Θεόδωρος τὰ ἔλεγε αὐτὰ διότι μποροῦσε νὰ κάμει τὴν ἀνάγκη του καὶ νὰ ὑπηρετεῖ τοὺς ἄλλους· αὐτὸς ὅμως εἶναι ἀσθενής. Ὁ καθένας ὀφείλει νὰ ζεῖ μὲ φόβο Θεοῦ ἀνάλογα μὲ τὸ μέτρο καὶ τὴν κατάστασή του, εὐχαριστώντας πάντοτε τὸ Θεό· διότι δι' αὐτοῦ ἄλλοι παίρνουν τὴν ἀμοιβή. Νὰ μὴ φθονήσει λοιπὸν αὐτὸν ποὺ θέλει νὰ ἀκούσει ἐκεῖνον ποὺ λέγει, «ἀσθένησα καὶ δὲν μὲ ὑπηρετήσατε»[7]. Ὁ Θεὸς δὲν ἀπαιτεῖ ἀπὸ τὸν ἀσθενῆ, ὅπως ἀκούσαμε πολλὲς φορές, τίποτε ἄλλο παρὰ μόνο τὴν εὐχαριστία καὶ τὴν ὑπομονή· διότι αὐτὲς ἀναπληρώνουν τὴν ἀδυναμία ἐνώπιον τοῦ Θεοῦ.

---

7. Ματθ. 25,43.

Μὴ διακριθῇ οὖν ὑπηρετούμενος ὑπὲρ τοῦ οἱουδήποτε ἀδελφοῦ, θέλοντος διὰ τὸν Θεὸν κοπιᾶν, καὶ μὴ εἴπῃ, 'βαρῶ τοῦτον', ἢ 'θλίβω τοῦτον'· ἀλλ' εἴπῃ, 'δύναται ἶσος εἶναι τῷ ὑπηρετοῦντι τοῖς κακουμένοις', ὁπότε ὁ Θεὸς ἐπληροφόρησεν αὐτὸν ποιῆσαι ἑαυτῷ μισθὸν ἀπ' ἐμοῦ. Ὁ Κύριος ἐνδυναμώσοι αὐτόν, κἀμὲ μὴ κατακρίνει· ταῦτα φυλαξάτω, καὶ οἰκεῖτε μετ' εἰρήνης, χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Πρὸ πάντων «ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ». Καὶ ἐπὶ τούτοις μνημονεύσωμεν ὅτι ὁ θάνατος οὐ χρονίζει φθάσαι· καὶ δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ τῷ πλησίον, ἵνα δι' αὐτοῦ κληρονομήσητε τὴν ἀθάνατον ζωήν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ἐν ᾧ ἔχοντες τὴν ἐλπίδα μὴ μεριμνήσητε εἰς τὴν αὔριον· αὐτῷ γὰρ μέλλει περὶ ἡμῶν. Καὶ ἐὰν ἐπιρρίψωμεν τὴν μέριμναν ἡμῶν ἐπ' αὐτόν, αὐτὸς ἡμῶν φροντίσει ὡς θέλει.

Αὐτῷ ἡ δόξα, Ἀμήν.

Ἀσπάζομαι ὑμᾶς ἐν Κυρίῳ, παρακαλῶν εὔξασθαι ὑπὲρ ἐμοῦ διὰ τὴν ἀγάπην.

ΣΙΘ'

Ἀδελφός τις ἔχων τρεῖς λογισμούς, καὶ βουλόμενος ἐρωτῆσαι τὸν μέγαν Γέροντα, οὐ σαφῶς τὴν ἐρώτησιν ἐποιήσατο, ἀλλὰ δι' αἰνιγμάτων θέλων λαθεῖν τὸν Ἀββᾶν· στοιχεῖα γάρ τινα γράψας, καὶ κατὰ διάνοιαν ἐνθυμηθεὶς ὅπερ ἐρωτῆσαι ἐβούλετο, ἑκάστῳ κεφαλαίῳ τὰ δόξαντα αὐτῷ στοιχεῖα ἐν τῇ διανοίᾳ αὐτοῦ ἀνετυπώσατο. Ἦν δὲ τὰ στοιχεῖα ταῦτα· πρῶτον τὸ ῖ, ᾧτινι κατὰ νοῦν διετύπωσεν,

Νὰ μὴ ἀποφεύγει λοιπὸν νὰ ὑπηρετηθεῖ ἀπὸ ὁποιοδήποτε ἀδελφὸ ποὺ θέλει νὰ κοπιάσει γιὰ τὸ Θεό, καὶ νὰ μὴ πεῖ, 'τοῦ γίνομαι βάρος ἢ τὸν θλίβω'· ἀλλὰ νὰ πεῖ, 'μπορεῖ νὰ εἶναι ἴσος μ' αὐτὸν ποὺ ὑπηρετεῖ τοὺς ἀσθενεῖς, ἀφοῦ ὁ Θεὸς τὸν ἐπληροφόρησε νὰ ἀποκομίσει μισθὸ ἀπὸ ἐμένα. Εἴθε ὁ Κύριος νὰ τὸν δυναμώσει καὶ νὰ μὴ μὲ κατακρίνει'. Νὰ φυλάξει αὐτὲς τὶς συμβουλὲς καὶ νὰ ζῆτε εἰρηνικά, μὲ τὴ χάρη τοῦ Χριστοῦ τοῦ Θεοῦ μας.

